Αἰκίαι καὶ ὕβρεις διαφέρουσιν. αἰκίαι μὲν γάρ εἰσιν αἱ ἄνευ προπηλακισμοῦ πληγαί, καθὰ καὶ Δημοσθένης ὁ ῥήτωρ φησίν. ὕβρισμαι μὴν ἐγώ, προπηλάκισαι δὲ τοὐμόν.

Αἰπόλος καὶ ποιμὴν διαφέρει. αἰπόλος μὲν γὰρ ὁ ἐπὶ τῶν αἰγῶν πεταγμένος νομεύς. ποιμὴν δὲ ἐπὶ τῶν προβάτων.

Ἀκταὶ καὶ θῖνες διαφέρουσιν. ἀκταὶ μὲν γάρ εἰσιν οἱ πετρώδεις τόποι τῆς θαλάσσης. θῖνες δὲ οἱ ἀμμώδεις.

Ἀκόνιον δόρατος διαφέρει. ἀκόνιον μὲν γὰρ τὸ ἀκοντιζόμενον ἔλαττον δόρατος. δόρυ δὲ τὸ μεῖζον ᾧ ἐκχειρὸς ἐχρῶντο. παρὰ δὲ ὁμήρῳ, καὶ τὸ δόρυ προϊέναι.

Ἀκαιρία ἀχολίας διαφέρει. ἀκαιρία μὲν γάρ ὅστιν ἔνδεια καιροῦ ἐπιτηδείου, ἀχολία δέ, ἡ περί τι ἄλλο ἀνεστροφή.

Ἀκαρὴς σὺν τῷ σ, καὶ ἀκαρῆ ἄνευ τοῦ σ διαφέρει. ἀκαρῆ μὲν γὰρ ἄνευ τοῦ σ σημαίνει τὸ βραχύ. οἷον οὐ δ' ὅσον ἀκαρῆ τῆς τύχης ἐπίσαμαι. ἀκαρὴς δὲ σημαίνει τὸ παραβραχὺ ὅν. κατέπεσον ἀκαρὴς τῷ δέει.

Ἀληθὲς καὶ ἄληθες διαφέρει. ἀληθὲς μὲν γὰρ ὀξυτόνως, τὸ ἐναντίον τῷ ψεύδει. ἄληθες δὲ προπαροξυτόνως. τὸ κατ' ἐπερώτησιν λεγόμενον.

Ἀλοᾶν καὶ ἀλοιᾶν διαφέρει. ἀλοᾶν μὲν τὸ δάσεως, ἐπὶ τῆς ἄλω πατεῖν καὶ τρίβειν τοὺς σάχυας. ἀλοιᾶν δὲ ψιλῶς, τὸ τύπτειν. ἀριστοφάνης, ἢ μητέρ' κλοίκοιν, ἢ πατρὸς γνάθον ἐπάταξεν. ἀφ' οὗ καὶ μητραλοίαν ἀμὲν καὶ πατραλοίαν.

Ἀλλοίωσις ἑτεροιώσεως διαφέρει. ἀλλοίωσις μὲν γὰρ οὐ μόνον μεταχαρακτηρισμός, ἀλλὰ καὶ τῆς πρότερον ὑπολήψεως οἴησις ἑτέρα. ἑτεροίωσις δὲ ὅταν ἀφ' ἑτέρου χρώματος εἰς ἕτερον μεταβάλλῃ.

Ἁλίπαστον καὶ ἁλίπαστον διαφέρει. τὸ μὲν γὰρ ἁλὶ πεπασμένον κρέας, ἢ ἰχθῦς, ἕλεγ' ἁλίπαστον. ἁλίπαστον δὲ τὴν ἁλὶ ἐπασμένην χῶραν, ὡς τινῶν φθονερῶν τοῦτο ποιούντων. ὅθεν καὶ ὁ βίος τοὺς ἠκισμένους. καὶ δυσθεραπεύτους ἔχοντας τὰ σώματα ἁλιπάστους καλεῖ.

Ἄλλος καὶ ἕτερος διαφέρει. ἕτερος μὲν γὰρ ἐστὶ δυοῖν, ἄλλος δὲ ἐπὶ πλειόνων.

Ἁμαξοχία καὶ ἁρμαξοχία διαφέρει. ἁμαξοχία μὲν γὰρ ὅστιν ἡ ταυτοσυνδρομὴ τῶν ἁρμάτων. εἶχε μενέλαος ἁμαξοχίας ἀλεείνων. ἁρμαξοχία δὲ ὁ τύπος καὶ ἡ ἐγχάραξις τοῦ τροχοῦ ἡ ἐπὶ τῆς γῆς. οὐδέτι πολλὴ γίνεται ἐπισώρραν ἁρμαξοχὴν κάτω.

Ἀμυγδαλῆ καὶ ἀμυγδάλη διαφέρουσιν. ἀμυγδαλῆ μὲν γὰρ περιστρωμένως τὸ δένδρον δηλοῖ. ἀμυγδάλη δὲ παροξυτόνως τὸ καρπόν. καθὰ καὶ εὔπολις ἐν ταξιάρχοις φησί. δίδου μασάσθαι ἀξίας ἀμυγδάλας.

Ἅμα καὶ ὁμοῦ διαφέρει. ἅμα μὲν γάρ ὅστι χρονικὸν ἐπίρρημα. ὁμοῦ δὲ τοπικόν. σάλων μὲν γὰρ ἅμα ἐγένετο ἀναχάρσιδι τῷ σκύθῃ. εἴπερ κατὰ τὸν αὐτὸν χρόνον ἤκμασαν. ὁμοῦ μὲν τοι, οὐκέτι. οὐ γὰρ ἐν τῷ αὐτῷ ἐγεννήθησαν ἀλλ' ὁ μὲν ἀθήνησιν ὁ δ' ἐν σκυθίᾳ καὶ ὅμως διασέλλει. ἐνθ' ἅμα οἱ μογήτε καὶ εὐχωλὴ πέλεν ἀνδρὸς ὀλιγόστοιο, καὶ ὀλιγοδρόνιος, ἀντί, κατὰ τὸν αὐτὸν χρόνον. καὶ αὐτὰς ἐπεὶ κόσμηθεν ἅμ' ἡγεμόνεσιν ἕκαστοι, οἱ δ' ἅμα πάντες ἐφίππιοι μάστιγας. ἐπιχωρικῶς δὲ τῇ ὁμοῦ ἐχρεφόμεν καὶ πάλιν ἄλλοθ' ὁλοῦ πίνακάς τε κρεῶν. καὶ σώματα φωτῶν, ἀντὶ τοῦ ἐν αὐτῷ τῷ τόπῳ. τόπος δὴ καὶ δύω παῦδε λάς

βε κρείων ἀγαμέμνων, ἐν ἑνὶ δίφρῳ ἑόντας, ὁμοῦ δ' ἔχον ὠκέας ἵππους. ἐφ' ὅτῳ δ' ὁ ποιητὴς τὸ ὁμοῦ, καὶ ἐπὶ χρονικοῦ τάσσει ἐπιρρήματος, ὡς φησιν ἀσκληπιάδης. εἰ δὴ ὁμοῦ πόλεμόν τε δαμᾷ Ϛ' λοιμός ἀχαιούς. εἰ μὴ ἄρα λέγοι ποὶ νῦν ἢ ὁμοῦ ἐν τῷ αὐτῷ τόπῳ, οἷον ἐν τροίᾳ ὅτε λοιμός, Ϛ' ὁ πόλεμος δαμάζοι τοὺς ἀχαιούς.

Ἀμφότεροι καὶ ἑκάτεροι διαφέρουσιν. ἀμφότεροι μὲν γὰρ ἐρροῦμεν, ὅταν ἀντῷ αὐτῷ κατὰ τὸ αὐτὸ πράττωσιν. ἀμφότεροι τὴν δοκὸν μίαν οὖσαν φέρουσιν, ἑκάτεροι δ', ἐπὶ δὲ χωρὶς ἑκάτερος δ' ἑαυτοῦ πράττει, οἷον ἑκάτερος αὐτῶν δοκὸν φέρων. ἤτοι ὅταν ἑκάτερος αὐτῶν μίαν φέρει κατὰ μίαν.

Ἀμύνεσθαι καὶ ἀμύνειν διαφέρει. ἀμύνεσθαι μὲν γάρ ἐστι τὸ κολάζειν τοὺς προσδικήσαντας. ἀμύνειν δὲ τὸ βοηθεῖν.

Ἀμαρτάνει ὁ πλημμελῶν. διαμαρτάνει δὲ, ὁ ἀποτυγχάνων.

Ἄμυτος, καὶ ἄμυτος διαφέρει. ἄμυτος μὲν γὰρ προπαροξυτόνως, σημαίνει αὐτὰ τὰ θερσίματα, τουτέστι τὸν καρπόν. ὀξυτόνως δὲ ὁ καιρὸς τοῦ θερισμοῦ, ὡς περ καὶ ὀτρυγητὸς τοῦ τρυγός.

Ἄμαθος, καὶ ψάμαθος διαφέρει. ἄμαθος μὲν γὰρ ἡ ἐν πεδίῳ κόνις. ψάμαθος δὲ ἡ παραθαλασσία ἄμμος.

Ἀνακεῖσθαι, καὶ κατακεῖσθαι διαφέρει. ἀνάκειται μὲν γὰρ ὁ ἀνδριὰς Ϛ' ἡ εἰκὼν τῷδε κατὰ τιμὴν. κατάκειται δὲ ὁ εὐωχούμενος.

Ἀνδραγάθημα, καὶ ἀνδρία διαφέρει. ἀνδραγάθημα μὲν γάρ ἐστι εἰ καὶ τὴν ψυχικὴν ἀρετὴν ἔχει μαρτυροῦσαν. ἀνδρία δὲ, δύναμις ἐπαινουμένη.

Ἀνοχὴ καὶ ἐπικηρυκία διαφέρει. ἀνοχὴ μὲν γάρ ἐστι ἡ ἐν πολέμῳ διάτινα χρείαν ἀναβολὴ κατὰ συνθήκας, κοινῇ τοῦ ἐπιέναι ἀλλήλοις. ἐπικηρυκία δέ ἐστιν, ὅταν οἱ ἕτεροι πέμπουσι τοὺς αἰτησομένους ἀνοχὰς ἢ σπονδάς, ἢ εἰρήνην.

Ἀνάμνησις καὶ ὑπόμνησις διαφέρει. ἀνάμνησις γάρ ἐστιν, ὅταν τις ἔλθῃ εἰς μνήμην τῶν παρελθόντων. ὑπόμνησις δὲ ὅταν ὑφ' ἑτέρου, εἰς τοῦτο προαχθῇ.

Ἀναβάλλεσθαι καὶ ὑποτίθεσθαι διαφέρει. ἀναβάλλεσθαι μὲν γάρ ἐστι τὸ προίεσθαι, καὶ παρίεναι τὸν ἐπιτήδειον καιρὸν τῆς πράξεως.

ὑπερτίθεσθαι δὲ, τὸ ἐπιμένειν τὸν ἐπιτήδειον καιρὸν τῆς πράξεως.

Ἀνακωχὴ καὶ ἀνοκωχὴ διαφέρει. ἀνακωχὴ μὲν γὰρ ἐστι ἡ ἐπὶ τῶν νέων ἀναχώρησις. ἡ δὲ διὰ τοῦ ο ἀνοκωχὴ. ἀνοχὴ μακρὰ πολέμου. διοκωχὴ, καὶ ἀνωχὴ, διάλειψις τις, καὶ ἄνεσις.

Ἀνάλγητος καὶ ἀναλγὴς διαφέρει. ἀνάλγητος μὲν γάρ ἐστιν ὁ ἀνεπίδεκτος τοῦ καθήκοντος. ἀναλγὴς δὲ ὁ μὴ αἰνῶν.

Ἀντικρυς καὶ ἀντικρὺ διαφέρει. ἀντικρὺ μὲν τὸ ἐπ' εὐθείας, καὶ ἀδιαναντίας χωρὶς τοῦ σ. ὡς καταλληλεύ. ἄντικρυς δὲ τὸ διαρρήδην καὶ φανερῶς, καὶ ἐπ' εὐθείας τοπικόν.

Ἀναβάτης καὶ ἐπιβάτης διαφέρει. ἀναβάτης μὲν ἀ, ἐπὶ ἵππου. ἐπιβάτης δὲ, ἐπὶ νηός.

Ἀνασῆναι καὶ ἐγερθῆναι διαφέρει. ἀνασῆναι μὲν, ἐπὶ ἔργου. ἐγερθῆναι δὲ ἀδιαφόρως ἵππου.

Ἀναγόμενοι καὶ ἐγερθέντες διαφέρει. ἀνήγοντο μὲν οἱ πλέοντες ἀναγόμενοι αὐτῶν. ἀνήχθησαν δὲ ἅπαντες εἰς τὸ στρατόπεδον.

Ἀνεψιοὶ καὶ ἀδελφιδοὶ διαφέρουσιν. ἀνεψιοὶ μὲν γάρ εἰσιν οἱ τῶν ἀδελφῶν παῖδες. ἀδελφιδοὶ δὲ οἱ τῶν ἀνεψιῶν παῖδες.

Ἀναγκάζειν καὶ βιάζεσθαι διαφέρει. ἀναγκάζειν μὲν γάρ ἐστιν ἐπὶ ἐμψύχων. βιάζεσθαι δὲ ἐπὶ ἀψύχων, οἷον βιάζεσθαι τὴν ναῦν.

Ἄναξχος καὶ ἀναίτιον διαφέρει. ὅτι τὸ μὲν ἀναίτιον πρὸς ἕτερον λέγεται. τὸ δ' ἄναξχον πρὸς ἑαυτό.

Ἄντρον καὶ σπήλαιον διαφέρει. ἄντρον μὲν τὸ αὐτοφυὲς κοίλωμα. σπήλαιον δὲ τὸ χειροποίητον.

Ἄνοια καὶ ἀφροσύνη διαφέρει. ἀνόητος μὲν γάρ ἐστιν ὁ μηδὲν νοῶν. ἄφρων δὲ ὁ νοῶν μὲν, οὐ φρονίμως δὲ διοικῶν.

Ἄξονες καὶ κύρβεις διαφέρει. οἱ μὲν ἄξονες ἦσαν τετράγωνοι. οἱ δὲ κύρβεις τρίγωνοι, Ϛ' οἱ μὲν ἄξονες εἶχον τοὺς ἰδιωτικοὺς ἐγγεγραμμένους. οἱ δὲ κύρβεις δημοσιας ἱεροποιίας, Ϛ' εἴτι ἕτερον τοιοῦτον.

Ἀξιόχρεως μὲν ἐστὶ ὁ ἐπιλύσαι τὶ ἱκανός. ἀξιόπιστος δὲ ἐπιστεύεσθαι ἄξιος.

Ἀξίωμα μὲν ἐστὶ δὲ καθ' ὑπερβολὴν διαπρέπον. ἀξία δὲ ἡ ἐκδοκιμασία εὐαρέσκεια.

Ἀποστάσιος ἀπροσασίου διαφέρει. ἀπρεασίου μὲν δίκιον ἔλεγον. ὅπου ἀπελεύθερος κρίνοιτο, ὡς ἀποστὰς τοῦ δεσπότου. ἀπρο

σασίν δέ, ὁπότε μέτοικος ἐγκαλοῖτο ὡς μὴ ἔχων προστάτην.

Ἀποκήρυκτος καὶ ἐκποίητος διαφέρει. ἀποκήρυκτος μὲν γάρ ἐστιν, ὁ ἐπὶ ἀδικήματι ὑπὸ τοῦ πατρὸς ἐκβληθεὶς τῆς οἰκίας. ἐκποίητος δὲ ὁ δοθεὶς ὑπὸ τοῦ πατρὸς εἰς υἱοθεσίαν ἄλλῳ. ὃ λέγουσιν εἰσποίητος γέγονεν.

Ἀπολογεῖσθαι καὶ ἀπολογίζεσθαι διαφέρει. ἀπολογεῖσθαι μὲν γάρ ἐστι τὸ ἐπὶ τῷ λόγῳ τῶν κατηγορίαν ἀνασκευάζειν. ἀπολογίζεσθαι δὲ τὸ ἀποδοῦναι, τὸν λόγον τῶν δ' ἀπαντημάτων, καὶ γὰρ τὰ ἁπλοῦν λογίζεσθαι, ἀριθμεῖται.

Ἀποδιδράναι καὶ ἀποφεύγειν διαφέρει. ἀποδιδράναι μὲν γὰρ τὰ ἀναχωρήσαντά τινα εὐδήλον εἶναι ὅπου ἐστίν. ἀποφεύγειν δὲ μὴ δύνασθαι ἐπιλαφθῆναι. λέγει δὲ Ξενοφῶν τῶν διαφορᾶν αὐτῇ ἀναβάσει οὔτε ἀποδιδράσκασιν. οἶδα γὰρ ὅπου οἴχονται, οὔτε ἀποφεύγουσιν.

Ἀπὸ καὶ παρὰ διαφέρει. ἡ μὲν γὰρ ἀπὸ, τίθεται ἐπὶ τῶν ἀψύχων. οἷον ἀπ' ἀθηνῶν. ἡ δὲ παρὰ, ἐπὶ τῶν ἐμψύχων. οἷον παρὰ Σωκράτους. οἱ ἐναλλάσσοντες δὲ ἁμαρτάνουσι, ἢ ἀλλαγῇ προθέσεως χρῶνται, ὡς καὶ Ὅμηρος. παρὰ νηῶν ἀνιόντε, ἀντὶ τοῦ ἀπὸ τῶν νηῶν. ὡς Ἀλκαῖος φησι κυρίως. οὐτέποτε προβέπουσ' μελεναῖν ἀπὸ νᾶ.

Ἀπελεύθερος καὶ ἐλεύθερος διαφέρουσι. ἀπελεύθερος μὲν γάρ ἐστι ὁ ἐκ δούλου ἠλευθερωμένος. ἐλεύθερος δ' ὁ γενόμενος διὰ χρέα προσκλυτος, ἢ καὶ ἄλλῳ τινὰ αἰτίαν δουλεύσας, εἶτα ἐλευθερωθείς. ἤδη μέν τοι καὶ ἀδιαφόρως χρῶνται τοῖς νοήμασιν.

Ἀποφορὰ καὶ εἰσφορὰ διαφέρει. ἀποφορὰ μὲν γάρ ἐστιν τὰ ἀπὸ τῶν δούλων τοῖς δεσπόταις παρεχόμενα χρήματα, ἅπερ καὶ ἀναφορὰν καλοῦσιν. εἰσφορὰ δὲ, τὰ ὑπὸ τῶν πολιτῶν.

Ἀποκριθῆναι καὶ ἀποκρίνασθαι διαφέρει. ἀποκριθῆναι μὲν γάρ ἐστι τὸ ἀποχωρισθῆναι. ἀποκρίνασθαι δὲ τὸ ἐρωτηθέντα λόγον δοῦναι.

Ἀπονίψασθαι καὶ κατὰ χειρὸς ὕδωρ αἰτῆσαι διαφέρει. ἀπονίψασθαι μὲν γάρ ἐστι μετὰ τὸ φαγεῖν. κατὰ χειρὸς δὲ ὕδωρ αἰτῆσαι, πρὸ τοῦ φαγεῖν.

Ἀποφορὰ καὶ ἀναφορὰ διαφέρει. ἀποφορὰ μὲν γάρ ἐστι ὁ νεῶ καλούμενος φόρος. ἀναφορὰ δὲ ὁ ἀπὸ τῶν εὐόδων ἢ δυσώδων ἀναφερόμενος ἀσμός.

Ἀπέθανε καὶ τέθνηκε διαφέρει. ἀπέθανε μὲν νεῶ. τέθνηκε δὲ πάλαι. ὡς πρὶν ἀπόσε μὲν ὁ δεῖνα σήμερον. πρὶν πεπάτηκε δὲ πάλαι.

Ἀπόδοσις μὲν ἀψύχου λέγεται ἀποκατάστασις δὲ ἐμψύχου καὶ ἀγομένου.

Ἄρχειν καὶ κρατεῖν διαφέρει. ἄρχειν μὲν γὰρ καὶ τὸ νεῶν ἐπὶ ὠφελείᾳ προεστάναι. κρατεῖν δὲ τὸ βίᾳ νικᾶν ἄγειν ὑπακουομένους ἐπὶ δουλείᾳ, καθὸ καὶ τὸ θηρίων κρατεῖν, ἀλλ' οὐκ ἄρχειν λέγεται.

Ἀρπαγὴ καὶ ἁρπάγη διαφέρει παρὰ τοῖς παλαιοῖς ἀττικοῖς, ὥς φησι τρύφων ἐν τῷ τρίτῳ περὶ ἀττικῆς προσῳδίας. ἐὰν μὲν ὀξυτόνως προενεγκώμεθα, καθάπερ ἐν τῇ σωκθείᾳ τῶν ἀφνείων. καὶ μετὰ βίας ἀφαίρεσιν δηλώσει. ἐὰν δὲ βαρυτόνως. ἁρπάγην ὡς ἀνάφλω. ἐν ᾗ ἐκ τῶν φρεάτων τοὺς κάδους ἐξαίρουσι. καὶ παρὰ μενάνδρῳ ἀναγινώσκομεν ποτήριον, τράπεζαν, ἁρπάγιον, δεύτερον κάδον, καὶ ἐν ἠνιόχῳ τὴν παῖδα δ' οὐ δίδομεν. ἀλλ' ἁρπάγιον αὐτῷ κατασκευάζομεν.

Ἆρα καὶ ἄρα διαφέρει. ὁ μὲν γὰρ κατὰ περιπασμὸν λεγόμενος, σάνδεσμος ἀποδεικτικός ἐστιν, ὅτε ἀποροῦντες λέγομεν. ἆρα τέλος ἕξει τὸ πρᾶγμα. ὁ δὲ κατὰ συστολὴν συλλογιστικός. εἰ ἡμέρα ἐστὶ, φῶς ἐστι. ἀλλὰ μὴν ἡμέρα ἐστὶ, φῶς ἄρα ἐστί. εἰ τοῦτο συμφέρον ποιεῖν, ποιητέον ἡμῖν ἄρα ἐστί.

Ἄρα καὶ ἀρτίως διαφέρει. ἄρα μὲν γάρ ἐστι χρονικὸν ἐπίρρημα. τὸ δ' ἀρτίως ἐπὶ τῶν ἀπηρτισμένου ἔργον τελείως. ὡς τε ἁμαρτάνει Σαπφὼ λέγουσα ἀρτίως μὲν ἀχρυσοπέδιλ' αὖ. ὡς ἀντὶ χρονικοῦ ἐπιρρήματος παρὰ τοῖς ἀττικοῖς ἀρτίως σημαίνει αὐτῆς τὴν ὥρ. τὸ δ' ἄρα πρὸ ταλαιπ, καὶ ἐπὶ τῶν παρωχηκότ.

Ἀράχνη καὶ ἀράχνιον διαφέρει. ἀράχνη μὲν γὰρ θηλυκῶς τὸ ὕφασμα, καὶ οὐδετέρως τὸ ἀραχνίον. ἀρσενικῶς δ' ὁ ἀράχνης τὸ ζῶον.

Ἄρνες καὶ ἀρνοῖ διαφέρουσιν. ἄρνες μὲν λέγουσι οἱ νεογνοί. ὡς δὲ λύκοι ἄρνεσιν ἐπέχραον, ἀρνοῖ δ' οἱ προήκοντες τὴν ἡλικίαν. ἀς νῷ μιν ἔγωγε εἴσκω πικεσιμάχῳ. ὅς τ' οἴων μέγα πῶν.

Ἀῤῥώστος καὶ ἀῤῥωστῶν διαφέρει. ἄῤῥωστος μὲν γὰρ ὁ νοσῶν. ἀῤῥωστῶν δὲ ὅτιν ὁ ἀδυνατῶν ἐπιτελεῖν τὰς ὀρέξεις, ὡς ἀριστοφάνης φησίν.

Ἀῤῥωστεῖν τοῦ νοσεῖν διαφέρει. ἀῤῥωστεῖ μὲν γὰρ ὁ κακεκτῶν τῷ σώματι. νοσεῖ δὲ ὁ κλινήρης.

Ἀῤῥωδεῖν καὶ ὀῤῥωδεῖν διαφέρει. τὸ μὲν γὰρ διὰ τοῦ ο σημαίνει τὸ εὐλαβεῖσθαι. οὕτως τὸ ἀξιοῦν τὴν λέξιν. ὄῤῥος λέγεται ὁ περὶ τοὺς γλουτοὺς τόπος. οὗλανες ταῦρον λέγουσιν. ὅθεν καὶ τὴν ὀρνέων ὁ τόπος οὗτος ὀῤῥόπυγον καλεῖται. οὐχ ὥς τινες ἀγνοοῦντες ὀρθοπύγιον. ἐπίμως δ' εἴρηται ὄῤῥος ὢν τοῦ πυγῆς, καὶ οἱονεὶ ὀροπύγιον. οἱ δὲ ὑλαβούμενοι περί τινος, ἀναστᾶν εἰώθασι δ' αἱ δοῖον πολλάκις ἢ καὶ τὰ ἄλογα τῶν ζώων ὑπὲρ σέλλ' εἰώθασι πλὴν οὐρᾶν. ὅταν εὐλαβῆται. εὐλόγως οὖν, ἐκ τοῦ παρακολουθοῦντος τὸ ὀῤῥωδεῖν εἴρηται ἐπὶ τοῦ εὐλαβεῖσθαι, καὶ εὐριπίδης. τὸ περσέα λέγοντα εἰσάγει. τὰς δ' συμφορὰς τῶν κακῶς πεπραχότων οὐκέτι πολὺ ὕβριν αὐτὸς ὀῤῥωδῶν παθεῖν. καὶ τὸ μὴ ὀῤῥωδεῖν, οἷον κατασείσασιν. τοῦτ' ἔστι μὴ εὐλαβεῖσθαι. ἀλλὰ καταφρονεῖν, καὶ πεθαῤῥηκέναι.

Ἀσφόδελος, καὶ ἀσφοδέλη διαφέρει. πρωταρξυτόνως μὲν γὰρ τὸ φυτῆ. ὀξυτόνως δ' ὁ τόπος, κατ' ἀσφοδέλ' λειμῶνα.

Ἀσεῖος καὶ ἀστικός διαφέρει. ἀσεῖος μὲν γὰρ ὁ πιθανὸς καὶ χαρίεις, ἢ καθόλου ἐπιδέξιος ἐν πολιτικῇ ὁμιλίᾳ. ἀστικὸς δὲ ὁ ἐν ἄστει διατρίβων.

Ἄστρον καὶ ἀστὴρ διαφέρει. ἄστρον μὲν γάρ ἐστιν ἐκπολλῶν ἀστέρων μεμορφωμένον ζῴδιον. οἷον ὠρίων, ἄρκτος. ἀστὴρ δὲ, ὁ εἷς.

Ἀτέχνως καὶ ἀπεχνῶς διαφέρει. τὸ μὲν γὰρ παροξύτονον σημαίνει τὸ χωρὶς τέχνης, καὶ ἀμαθῶς. τὸ δὲ περισπώμενον τίθεται ἀντὶ τοῦ ἁπλῶς, καὶ ἀδόλως, καὶ καθάπαξ, καὶ καθόλου, ἄντικρυς, ἢ φανερῶς.

Ἀτιμοῦται καὶ ἀτιμάζεται διαφέρει. ἀτιμοῦται μὲν γάρ τις ὑπὸ τῶν νόμων ὀλοχερεῖ ἀτιμίᾳ. ἀτιμάζεται δὲ ὁ ὑβριζόμενος ἑνὶ τινι πράγματι.

Ἄπαφυλούμενον καὶ δασυνόμενον διαφέρει, φυλούμενον μὲν γὰρ σημαίνει τὸ ζωά, δασυνόμενον δὲ τὸ ἄτινα.

Ἀτελὲς καὶ ἀτέλεστον διαφέρει. ἀτελὲς μὲν γάρ ἐστι τὸ μήπωπε τελεσθέν. ἀτέλεστον δὲ τὸ ἀδύνατον τελεσθῆναι. οἱ οὖν ἐναλλάσσοντες ταῦτα, ἀκυρολογοῦσιν.

Αὐχὴν καὶ δέρη διαφέρει. αὐχὴν μὲν γὰρ λέγεται τὸ ὄπισθεν τοῦ τραχήλου. δέρη δὲ τὸ ἔμπροσθεν καθό ἐστιν ἡ φάρυγξ.

Αὖθις καὶ αὖθι χωρὶς τοῦ σ διαφέρει. τὸ μὲν αὖθις ἔστι τὸ πάλιν, ἢ μετὰ ταῦτα. τὸ δ' αὖθι αὐτόθι, κακῶς οὖν καλλιμαχός φησιν αὖθι τὸ δ' ἐκδύοιμι, ἀντὶ τοῦ μετὰ ταῦτα.

Αὖτις διὰ μὲν τοῦ τ, σημαίνει τὸ πάλιν. διὰ δὲ τοῦ θ, τὸ ὕστερον.

Ἄχρι χωρὶς τοῦ σ, χρονικὸν ἐπίῤῥημα ἄχρις δὲ μετὰ τοῦ σ, ἀντὶ τοῦ ἀκριβῶς ἀπέκοψεν.

Βασιλεὺς κοίρανος, καὶ ἡγεμὼν διαφέρει. βασιλεὺς μὲν γάρ ἐστιν ὁ πατρόθεν, ἢ ἀπὸ γένους πλὴν ἀρχὴν παραλαβών. κοίρανος δὲ ὁ πρὸς καιρὸν τὸ τοῦ βασιλέως ἔργον ἐπιτελῶν. οἷος ἦν πρὸ τῆς μήνιδος ὁ ἀχιλλεὺς ὡς ὥγε κοιρανέων δίεπε στρατόν. ἡγεμὼν δὲ ὅτιν ὁ τάξεως στρατιωτικῆς ἡγούμενος. ὡς ὁ ποιητής φησιν. αὐτὰρ ἐπεὶ κόσμηθεν ἅμ' ἡγεμόνεσσιν ἕκαστοι.

Βάρβαρον καὶ βαρβαρικὸν διαφέρει. βάρβαρος μὲν γάρ ἐστιν ὄνομα τοῦ οὐχ ἑλληνικόν. βαρβαρικὸν δὲ τὸ τῶν βαρβάρων.

Βάραθρος καὶ βάραθρον διαφέρει. βάραθρος μὲν γὰρ ὁ βαράθρου ἄξιος ἄνθρωπος. βάραθρον δὲ ὀρυγμάτι ἀθήμησι εἰς ὃ τοὺς κακόεργους ἐνέβαλλον. ὥς περ οἱ λακεδαιμόνιοι τοὺς καταδικαζομένους ἔβαλλον εἰς τὸν κεάδα.

Βασιλεία καὶ βασίλεια διαφέρει. προπεριστωμένως ἡ βασιλέως ἀρχή. προπαροξυτόνως δὲ, ἡ βασιλέως γυνή.

Βάρις μέν ἐστιν αἰγύπτιον πλοῖον, λέγεται δὲ καὶ ἡ μεγάλη οἰκία, ὡς ὑπὸ φιλίππου.

Βάσανος ἥτε δοκιμασία, καὶ ἡ τῶν πληγῶν. βασκαίνειν οὐ μόνον τὸ φθονεῖν. ἀλλὰ καὶ τὸ συκοφαντεῖν, ὡς δημοσθένης, κτῶ περὶ σεφάνου. ἄνευ δύσκολον συμβῆ τοῦτο βασκαίνουσιν.

Βεβλῆσθαι καὶ οὐτᾶσθαι διαφέρει. βεβλῆσθαι μὲν γάρ ἐστιν ἐκβολῆς πεπρῶσθαι, καὶ ἐκ τῶν ἐναντίων. οὐτᾶσθαι δὲ τὸ ἐκχεγρός πεπρῶσθαι.

Βιοῶ καὶ ζῶ διαφέρει. Βιοῶ μὲν γὰρ ἐπὶ ἀνθρώπων μόνων λέγεται. ζῶ δὲ ἐστὶ ἀνθρώπων καὶ ἀλόγων ζώων, ἤδη δέ ποτε καὶ ἐπὶ φυτῶν.

Βίος ζωῆς διαφέρει. Βίος μὲν ἐπὶ τῶν λογικῶν τάττεται ζώων. τουτέστιν ἀνθρώπων μόνων. ζωὴ δὲ ἐπὶ ἀνθρώπων καὶ ἐπὶ τῶν ἀλόγων ζώων. οὐτεῦθεν Ἀριστοτέλης τὸν βίον ὡρίζατο οὕτως, βίος ἐστὶν λογικὴ ζωή. ὁ οὖν ἐπὶ τῶν θηρίων βίον τάττων, ἀκυρολογεῖ.

Βιῶναι μὲν ἐστὶν ἀ ζῶ. βιοτεύειν δὲ τὸ ποιεῖν τὰ πρὸς τὸν βίον. βιοῦμεν φήσομεν ἀνθρώπους. ζῶ δὲ καὶ τὸν ἄλογον ζῶον.

Βλέπειν καὶ θεᾶσθαι διαφέρουσιν. βλέπειν μὲν γὰρ κυρίως τὸ ὁρᾶν ἃ ὁποσοῦν. θεᾶσθαι δὲ ὁρᾶν τι τεχνικῶς γινομένων οἷον πάλιν παγκράτιον γραφῶ.

Βλέφαρα καὶ βλεφαρίδες διαφέρουσι. βλέφαρα μὲν γάρ ἐστιν αὐτὰ τὰ ἐπικλῴμενα δέρματα. βλεφαρίδες δὲ, αἱ τρίχες αἱ ἐπὶ τῶν βλεφάρων.

Βόος καὶ βόειος διαφέρει. βόος μὲν γὰρ πᾶς ἐστὶν ἐπὶ ζῶντος. βόειος δὲ ὁ τοῦ νεκροῦ.

Βούλει καὶ βούλῃ διαφέρει. ἡ βούλει μὲν ἀ ὁριστικῆ ἐστιν. οἷον βούλει σχολάσαι μι. τὸ βούλῃ δὲ διασκλικῆ, οἷον βούλῃ πρεσβυσώμεθα.

Βοηθοῖ μὲν ὁ σωῶν. ἐπικουρεῖ δὲ ὀλίγωθεν εἰς βοήθειαν ἥκων. συμμαχεῖ δὲ ὁ αὐτόθεν, ὑπερμαχεῖ δὲ ὁ ἀδικουμένῳ χρησιμεύων. ἀκμάζει δὲ ὁ ἡμιωρεῖμμένος ὑπὲρ τοῦ ἀπολωλότος.

Βουκολεῖν καὶ ἀγραπατᾶν διαφέρει. βουκολεῖν μὲν ἐστὶ τὸ ἐπιπλεῖστον ἀεὶ παραλογίζεσθαι. ἀγραπατᾶν δὲ τὸ περὶ εἷς πράγματα σωαρπάζειν.

Βουλεύσασθαι καὶ βουλεῦσαι διαφέρει. βουλεύσασθαι μὲν γάρ ἐστι ταυτὸν τὸ σκέψασθαι. βουλεῦσαι δὲ τὸ ἐνθυμηθὲν ναύτι, καὶ σωτάξαι κακόν, οἷον βουλεῦσαι φόνον ἢ ἱεροσυλίαν.

Βούλεσθαι μὲν ἐπὶ μόνου λεκτέον τοῦ λογικοῦ. τὸ δὲ θέλειν καὶ ἐστὶ ἀλόγου ζόου.

Βλύει καὶ βρύει διαφέρει. βρύει μὲν γὰρ ἐπὶ τοῦ ἀνθεῖν. βλύει δὲ ἐπὶ τοῦ ἀναβάλλειν.

Βρύκειν καὶ βρύχειν διαφέρει. βρύκειν μὲν γὰρ διὰ τοῦ,κ, τοῖς ὀδοῦσι. βρύχειν δὲ διὰ τοῦ,χ, ἐπὶ λέοντος δὲ βρύχεσθαι.

Βωμὸς ἑστία ἐσχάρα καὶ μέγαρον διαφέρουσι. καθὰ καὶ ἀμμώνιος ὁ λαμπρινεὺς ἐν πρώτῳ περὶ θυσιῶν. φησὶ γὰρ βωμοὶ μὲν γὰρ οἱ τὰς προβάσεις ἔχοντες. ἐσχάραι δὲ πρὸς τῶν βοιωτικῶν γινομένων. ἐπὶ τῆς τάξεως δὲ πολυεστία. ἡ δὲ μέγαρον ἡ περιοικοδομημένη ἑστία. ἔνθα τὰ μυστικὰ τοῦ δήμου. παρὰ δ' ὁμήρῳ ἡ ἐσχάρα ἡ αὐτὴ καὶ ἑστία καλεῖται. ὁ δὲ βωμὸς, καὶ τῶν βασιν σημαίνει. χρύσειοι δ' ἄρα κῦροι. εὐδμήτων ἐπὶ βωμῶν. ἀντὶ τοῦ ἐπὶ βάσεων, καὶ ἡ ἑστία σημαίνει τὸν οἶκον. ἑστία δ' ὀδυσῆος ἀμύμονος. καὶ ἀνέστιος ὁ ἄοικος παρ' ἡσιόδῳ, καὶ ἡ σωματωδὴς θεὸς ἑστία ὄστιν. ἣν καὶ δήμητραν, καὶ κρίω χρυσοπέδιλον. ἰδίως δὲ νεάνθης ὁ κυζικηνὸς ἐν τρίτῳ τῶν κτίσεων πόλιν βωμοὺς θεῶν φησιν. ἐσχάρας δ' ἡρῴων. παρὰ δὲ εὐριπίδῃ, ἐσχάρα ἀντὶ τοῦ βωμοῦ κεῖται. ἐν πλαθέντι μὴ φάγεται δαιμόνων ἐπ' ἐσχάρᾳ, καὶ σοφοκλῆς ἐν χρύσῃ.

Γαμήλιος καὶ ἐπιθαλάμιος διαφέρει. ἐπιθαλάμιος μὲν γάρ ἐστι τοῦ θαλάμου τὸ γαμικὸν γραφὲν ποίημα. ὁ δὲ γαμήλιος οὐ περιόριστος χρόνῳ. τάττοιτο δὲ ἄν, καὶ κατὰ τῆς δωρεᾶς τῆς ἐν γάμῳ διδομένης.

Γεγενῆσθαι ἐρῶμεν τὸ ὡσανεὶ γεγενημένον. γεγονέναι δὲ τὸ ἄψυχον πρᾶγμα.

Γενέθλια καὶ γενέσια διαφέρει. ὅτι μὲν γὰρ γενέθλια τάττεται ἐπὶ τῶν ζώντων. καὶ ἐν ᾗ ἕκαστος ἡμέρα ἐγενήθη. αὕτη καλεῖται γενέθλιος ἡμέρα. γενέσια δὲ ἐπὶ τῶν τεθνηκότων. ἐν ᾗ ἕκαστος ἡμέρα τελεύτησε. ὁ οὖν λέγων ἐπὶ τῶν ζώντων γενέσια ἀκυρολογεῖ.

Γέρων καὶ πρεσβύτης, καὶ προβεβηκὼς διαφέρει. Ἀλεξίων δηλοῖ ἐν τῇ ἐπιτομῇ τῶν διδύμου συμμίκτων λέγων οὕτως. ἐκ τῶν ἀρίστων περὶ ἀνθρώπου γενέσεως καὶ αὐξήσεως ἄρχει γήρως. βρίφ μὴ γάρ ἐστι τὸ γένος ἐθέως. παιδίον δὲ τὸ τρεφόμενον ὑπὸ τιθήνου. παιδάριον δὲ τὸ ἤδη πεῖραν τῆς ἡλικίας λέξεως ἀντεχόμενον. παιδίσκος δ' ὁ ἐν τῇ ἐχομένῃ ἡλικίᾳ. παῖς δ' ὁ διὰ τῶν ἐγκυκλίων μαθημάτων δυνόμενος ἱέναι. τῶν δ' ἐχομένων ταύτης ἡλικίαν, οἱ μὲν πάλλικα. οἱ δὲ ἐφήβους. οἱ δ' ἀντίπαιδας. οἱ δὲ μειρακίφηβον καλοῦσιν. ὁ δὲ μετὰ ταῦτα ἔφηβος. ἐν δὲ κυρήνη τοὺς ἐφήβους βίαι καταίους καλοῦσιν. ἐν ᾗ κρίνει ἀπαρδόμενος

διὰ τὸ μηδέπω τῶν κοινῶν δρόμων μετέχειν. ὁ δὲ μετὰ ταῦτα, μειράκιον. εἶτα μείραξ, εἶτα νεανίσκος, εἶτα νεανίας, εἶτα ἀνήρ μέσος, εἶτα πρεσβύτης. οὗ ὁ γωμογέροντα καλοῦσιν, εἶτα γέρων, εἶτα πρεσβύτης, εἶτα ἔσχατος ἥρως.

Γελοῖον καὶ εὐτράπελον διαφέρει. γελοῖον μὲν γὰρ ὅτιν τὸ ἐπὶ διαχύσει τῶν ἀκροατῶν χωρὶς ἕνος ὕβρεως. εὐτράπελον δὲ τὸ μετὰ σεμνότητος χαριέντως λεγόμενον. εἴρηται δὲ παρὰ τὸ εὐστρέπεσθαι τὸν λόγον.

Γέλοιος, καὶ γελοῖος διαφέρει. γέλοιος μὲν ὁ καταγέλαστος. γελοῖος δὲ ὁ γελοποιός.

Γῆμαι τοῦ γήμασθαι διαφέρει. ὅτι γαμεῖ μὲν ὁ ἀνήρ. γαμεῖται δὲ ἡ γυνή. καὶ ὅμως τοῦτο διαφορὰν πεποίηκεν αὐτῶν. ἐπὶ τοῦ γήμασθαι εἰπὼν γήμαμεν ὦ υἱῶ. ὅδ' ὅν πατέρ' ἐξεναρίξας γῆμε. καὶ ἀνακρέων διὰ σύρων ἅνα ἐστὶ θαλύπεια. καὶ θαλάμοις ἐν ᾧ κεῖνος οὐκ ἔγημεν. ἀλλ' ἐγήμαντο, καὶ αὐχένος ἐν ἀμυμώνη. σοὶ μὲν γὰρ γαμεῖσθαι μόρσιμον, γαμεῖν δὲ μή.

Γῆρας μὲν ὅτιν ἡ πολυετὴς ἡλικία. γήρασις δὲ ἡ ἐπ' αὐτῷ πόρευσις μήποτε οὖν ταύτῃ καὶ γηρᾶν τοῦ γηράσκειν διαφέρει.

Γράμμα στοιχεῖον διαφέρει. στοιχεῖον μὲν γάρ ὅτιν αὐτὴ ἡ ἐκφώνησις καὶ ὁ φθόγγος. οὗ τὸ γράμμα σημεῖον ἢ τύπος, χῆμα, ὡς ἐν ᾧ, τρίγωνον μὲν γάρ ὅτιν τὸ Δ. στρογγύλον δὲ τὸ ο, τύπος. τὸ δὲ στοιχεῖον τὸ ὁλόκληρον. οἷον α, β. τὰ λοιπὰ στοιχεῖα καταχρηστικῶς γράμματα. καὶ τὰ γράμματα ἐκάλουν οἱ παλαιοὶ γράμματα, καλλίμαχός πω φησί. γράμματα δ' οὐκ εἴλησαν ἀπόκρυφα. τουτέστι τὰ γράμματα καὶ πάλιν πλάτων ἐν ᾧ περὶ ψυχῆς γράμμ' ἀναλεξάμενος, καὶ ἐν τῇ σωκρατείᾳ πολλὰ φαμὲν εἰδέναι γράμματα τόν δε. οὐ γὰρ τὰ εἰκοσιτέσσαρα. ἀλλὰ τὸν πολλῶν ἔμπειρον γραμμάτων.

Γυμνασθῆναι καὶ γυμνᾶσθαι διαφέρει. γυμνασθῆναι μὲν γάρ ὅτι τὸ ὑφ' ἑτέρου. γυμνᾶσθαι δὲ τὸ ὑφ' ἑαυτοῦ.

Γυμνασία μὲν λέγεται ἡ τῶν γεγυμνασμένων ἄσκησις. ἄσκησις δὲ ἡ τῶν λεγόντων καὶ σκηνικῶν.

Δαμάλης καὶ δάμαλις διαφέρει. δαμάλης μὲν γὰρ ὁ ἄρρην μόσχος. δάμαλις δὲ ἡ θήλεια. μόσχος δὲ κοινῶς ἐπὶ ἀμφοτέρα.

Δαιδάλεσμος ἐρωτηματικὸς ἐκπεταμένως τὶς δαὶ ὅμιλος, καὶ πῶς δαὶ τῶν ἄλλων τρόπων. ὁ δὲ συμπλεκτικὸς δὲ συνεταλμένως.

Δεσπότης καὶ κύριος διαφέρει. δεσπότης μὲν γὰρ, ὁ τῶν ἀγγυρονόμων, καὶ κύριος. κύριος δὲ ὁ πατὴρ υἱοῦ καὶ αὐτός τις ἑαυτοῦ.

Δέος, καὶ φόβος διαφέρει. δέος μὲν γάρ ὅτι πλυχρόνιος κακοῦ ὑπόνοια. φόβος δὲ παραυτίκα πτῶσις. διόπερ ἡρόδοτος ἐν τῇ δ, ἡμέας ἔχει φόβος τε καὶ δέος.

Δήμιος καὶ δημόκοινος διαφέρει, δήμιος μὲν γάρ ὅτιν ὁ ἀναιρῶν τοὺς καταδίκους. δημόκοινος δὲ ὁ βασανίζων.

Δήμητερ καὶ δάματερ διαφέρει. παρὰ τοῖς ἀττικοῖς φησὶ τρύφων. δήμητερ γάρ φησίν ὅτιν ἐπὶ τῆς θεοῦ. δάματερ δὲ ἐπὶ θαυμασμοῦ.

Δῆμος καὶ δημός διαφέρει. δῆμος μὲν βαρυτόνως τὸ πλῆθος τῆς πόλεως. δημός δὲ ὀξυτόνως, τὸ λίπος.

Δίσκος καὶ σόλος διαφέρει. δίσκος μὲν γάρ ὅτι λίθος τετρημένος. ὡς φησὶ τρύφων ἐν πέμπτῳ περὶ ἑλληνισμοῦ. σόλος δὲ τὸ χαλκοῦν ὁλοσφύριον. ὅμηρος σόλον αὐτοχόονον. καὶ ἐν ἄλλοις λάβε δίσκον. εἶτ' ἐπιφέρει. βόμβησε δὲ λίθος, καὶ πίνδαρος λιθίνοις ποτ' ἀναδίσκοισι.

Δικαστὴς, καὶ διαιτητὴς διαφέρει. δικαστὴς μὲν γάρ ὅτιν ὁ κατὰ νόμον αἱρεθεὶς κριτής. διαιτητὴς δὲ ὁ κατὰ συμφωνίαν αἱρεθεὶς συμβιβάσας χάριν. μενάνδρος ἐν πέμπτῳ. εἴτις δικαστὴς ἢ διαιτητὴς θεῶν.

Διέφθαρται, καὶ διέφθορε διαφέρουσι. διέφθαρται μὲν γὰρ ὑφ' ἑτέρου. διέφθορε δ' ἑπτερον. ἀριστοφάνης κόραις διέφθορας τὸν ὅρκον ἡμῶν. μένανδρος ἀδελφοῖς εἰδ' ἔστι τῶν κόρων διεφθορώς. ὅμηρος φρένας ἠλεὲ διέφθορ' διεφθάρκεται σαυτοῦ φρένες.

Διαβόντος, καὶ ἐπιβόντος διαφέρει. διαβόντος μὲν γάρ ὅτιν ὁ ἐπὶ ἀρετῇ ἐγνωσμένος. ἐπιβόντος δ' ὁ μοχθηρὰν ἔχων φήμην. ἀνακρέων ἐν β, καὶ μ' ἐπιβόντ' κατὰ γείτονας ποιήσει. τότον δ' ἔνιοι τὸν ποιητῶν ἐπίσφατον καλοῦσιν.

Διαβόντος περιβόντου διαφέρει. διαβόντος μὲν

μὲν γάρ ἐστιν ὁ ἐπὶ ἀρετῇ πολυδρύλλητος. πρίβοντος δὲ ὁ ἐπὶ κακίᾳ. Ὁ περιβόητον πᾶσιν ἀνθρώποις αὐτὸν ἀκρατής. Ὁ τὸ δὴ τὸ λεγόμενον, ἥπερ ἑαυτὸν πρωτείῳ τρισαθλίῳ ἑαυτὸν οὕτω παραδίδωκεν.

Διπλῶν καὶ διπλάσιον διαφέρει. διπλοῦν μὲν γάρ ἐστι καὶ μέγεθος. διπλάσιον δὲ καὶ ἀριθμόν, ὡς διπλάσιον ἢ τετραπλάσιον, οἷον διπλάσια χρήματα ἔχει. ἐπὶ δὲ τῶν διπλουμένων ἀ διπλῶν. ὥσπερ ἐπὶ τῶν πυκνουμένων ἱματίων. διπλῶν τὸ ἱμάτιον οὐκέτι διπλάσιον.

Διχότομος καὶ διχοτόμος διαφέρει. διχότομος μὲν, ὁ εἰς δύο διηρημένος. διχοτόμος δὲ ὁ εἰς β διαιρῶν.

Διήγησις, καὶ διήγημα διαφέρει. διήγησις μὲν γὰρ καὶ ποίησίς ἐστιν ἡ ἐν μέτρῳ, τὸ τέλειον ἔχουσα. διήγημα δὲ καὶ ποίημα, τὸ βραχύτερον.

Διδάξω καὶ διδάξομαι διαφέρει. διδάξω μὲν γὰρ δι' ἑαυτοῦ. διδάξομαι δὲ δι' ἑτέρου ὡς οἰκοδομήσω μὲν, δι' ἑαυτοῦ οἰκοδομήσαιτο δὲ δι' ἑτέρου.

Διφθέρα Ὁ μηλωτὴ διαφέρει. διφθέρα μὲν γὰρ αἰγῶν. μηλωτὴ δὲ προβάτων.

Διορθοῦν καὶ ἐπανορθοῦν διαφέρει. διορθοῦν μὲν γὰρ ἐπὶ δοράτων, καὶ ἐπὶ ὀδελίσκων, καὶ ἐπὶ λόγων. ἐπανορθοῦν δὲ, ἐπὶ μόνων λόγων.

Διαπολιτεύεσθαι καὶ ἀντιπολιτεύεσθαι διαφέρει. διαπολιτεύεσθαι μὲν λέγουσι τοὺς ἐκ τῆς πόλεως. ἀντιπολιτεύεσθαι δὲ τοὺς ἐξ ἑτέρας ἀνδριαντοῦντας ἀλλήλοις. θεάσομαι δὲ καὶ τοὺς ἐν μιᾷ πόλει φιλοδοξουμένους πρὸς ἀλλήλους ἀνδριαντεύεσθαι ἔφη.

Διδάσκαλος καὶ ἐπιστάτης διαφέρει. διδάσκαλος μὲν γάρ ἐστιν λόγων. ἐπιστάτης δ' ἔργων.

Διαλέγεται μὲν ὁ διδοὺς λόγον καὶ λαμβάνων. λαλεῖ δὲ ὁ μὴ συνδιαλογιζόμενος. λέγει δὲ καὶ ὁ κατὰ διέξοδον ἐπεξιὼν πρᾶγμα. φάσκει δὲ ὁ βραχυλόγος.

Δίκη ἢ κρίσις, καὶ ἡ ἀμωρία, καὶ τὸ δίκαιον.

Δοάσατο τοῦ δοιάσατο διαφέρει. τὸ μὲν δοάσατο, σημαίνει τὸ ἔδοξε. τὸ δὲ δοιάσατο, ἀντὶ τοῦ ἐδίσασε.

Δῶλοι καὶ οἰκέται διαφέρουσι. δῶλοι μὲν γάρ εἰσι, καὶ οἱ τῶν ἡδονῶν, καὶ πάντες οἱ ὑπεταγμένοι ὑπὸ βασιλέα, οἰκέται δὲ δεσποτῶν.

Δόξα καὶ κλέος διαφέρει. δόξα μὲν ἐστὶν ὁ παρὰ τοῖς πολλοῖς ἔπαινος. κλέος δὲ ὁ παρὰ τῶν σοφῶν.

Δύναμις Ὁ ἰσχὺς διαφέρει, ὥς φησι πλάτων ἐν πρωταγόρᾳ. οὐ γὰρ ταυτόν ἐστι δύναμίν τε καὶ ἰσχύν. ἡ μὲν γὰρ δύναμις, καὶ ἀπ' ἐπιστήμης γίνεται, Ὁ μανίας καὶ θυμοῦ. ἡ δὲ ἰσχὺς ἀπὸ φύσεως, καὶ εὐτροφίας τοῦ σωμάτων.

Δυσπειθὴς καὶ ἀπιθὴς διαφέρει. δυσπειθὴς γάρ ἐστιν, ὃς δυσχερῶς παραδέχεται τὸν πιστὸν λόγον. ἀπειθὴς δὲ ὃς ἀπηρνεῖται, καὶ οὐχ οἷός τε ἐστὶν πείθεσθαι.

Δῶμα καὶ δωματίον διαφέρει. δῶμα μὲν γὰρ κοινῶς τὸ οἰκοδόμημα. δωμάτιον δὲ ὁ θάλαμος.

Δωροδοκία ἥτε δόσις τοῦ δώρου καὶ ἡ λῆψις.

Ἐγχρίσαι Ὁ ἐναλεῖψαι διαφέρει. ἐγχρίσαι μὲν γὰρ ἐπὶ σκορπίου. ἡ σφηκὸς ἢ ἄνθρωπος τοιούτου λέγουσιν. ἐναλεῖψαι δὲ, ἐπὶ ὀφθαλμῶν.

Ἐγγυᾷ καὶ ἐγγυᾶται διαφέρει. ἐγγυᾷ μὲν γὰρ ὁ διδούς. ἐγγυᾶται δ' ὁ λαμβάνων.

Ἐδίδαξε καὶ ἐδιδάξατο διαφέρει. ἐδίδαξε μὲν γὰρ ὁ καθηγητής. ἐδιδάξατο δ' ὁ πατὴρ συσήσας. ἀριστοφάνης ἐν νεφέλαις ἐδιδαξάμην μέν τοι νὴ δι' ὦ μέλαιν.

Εἰκὼν καὶ πρότομη διαφέρει. εἰκὼν μὲν γάρ ἐστιν ἐπὶ ἀνθρώπου, πρότομη δὲ λέοντος, καὶ καὶ ἵππου, καὶ τῶν ἄλλων.

Ἐκκλησία καὶ κατάκλησις διαφέρει, ἐκκλησίαν μὲν γὰρ ἔλεγον οἱ ἀθηναῖοι τὴν σύνοδον τῆς καὶ τῆς πόλιν. κατάκλησιν δὲ ὁπότε καὶ τοὺς ἐκ τῶν ἀγρῶν συνεκάλουν. πρὸς ἐπίσκεψιν μείζονα τῶν πραγμάτων.

Ἐκεῖ καὶ ἐκεῖσε διαφέρει. τὸ μὲν γὰρ ἐκεῖ, δηλοῖ τὸν ἐν τόπῳ. τὸ δὲ ἐκεῖσε εἰς τόπον οὕτως ἐρῶμεν. ἐκεῖ καταλαβὸν αὐτὸν, καὶ ἐκεῖσε πορευόμεθα.

Ἐκπολεμῶσαι καὶ ἐκπολεμῆσαι διαφέρουσιν. ἐκπολεμῶσαι μὲν γάρ ἐστι. τὸ εἰς τὸν πόλεμον ἐμβαλεῖν. ἐκπολεμῆσαι δὲ τὸ πόλιν ἐξελεῖν.

Ἔκγονος καὶ ἀπόγονος διαφέρει. ἔκγονος μὲν γάρ ἐστιν, ὁ υἱός. φησὶ γὰρ ὅμηρος. εἰ

ἐπεὶ οὐ γὰρ ἐκείνου ἔκγονός ἐστι, θάμβος μ' ἔχει εἰσερόωντα. καὶ δι' ὅλης τῆς ποιήσεως πετήρκηκεν. ἀπόγονος δ' ὁ ἤτοι ἐγονός, ἢ ἔτι ἄρρεν. καταχρῶνται δ' ἔοικε ὅτε οἱ ἰσοχρονοῦντες ἀπογόνῳ ἀντὶ ἐγοῦ.

Ἐκμαρτυρία μαρτυρίας, ἔντινι διαφέρει. δηλοῖ μιάρχος ἐν τῷ κλεομέδοντος λέγων, ἀναγνώσεται δὲ τὴν μὴ ἐπιδημοούντων τὰς μαρτυρίας, τῶν δὲ ἀποδημούντων, ἐκμαρτυρίας.

Ἕλκος ὠτειλῆς διαφέρει. ἕλκος μὲν γάρ ἐστι χρόνιον πάθος, μόνον ἐκ σιδήρου γινόμενον. ἔστι δ' ὅτε καὶ ἐξ αὐτομάτου. εἴρηται δὲ παρὰ τὸ διελκύσθαι τὴν σάρκα. ὠτειλὴ δ' ἐστὶν ἡ ἐκ τοῦ σώματος ὑπὸ σιδήρου πληγή.

Ἐλέατρος καὶ ἐδέατρος διαφέρει. ἐλέατρος μὲν γάρ ἐστιν ὁ μάγειρος. παρὰ τοῖς ἐλεοῖς. τράπεζαι δ' εἰσὶ μάγειροι. καὶ Ὅμηρος, ἐν εἰν ἐλεοῖσιν ἔχουσαν. ἐδέατρος δὲ ὁ προσάπτης παρὰ τὰ ἐδέσματα.

Ἐμβάδες καὶ ἐμβάται διαφέρει. ἐμβάδες μὲν γὰρ τὰ κωμικὰ ὑποδήματα. ἐμβάται δὲ τὰ τραγικά.

Ἐμεῖο καὶ μοῖο διαφέρει. ἐμεῖο μὲν γάρ ἐστιν ἀσάφαρθρον, ὡς Ὅμηρος. ἐμεῖο δὲ σάωθεο μῦθον. τὸ δὲ μεῖο σάφαρθρον τοῦ ἐμοῖο παιδός, καὶ μνῆσαι πατρὸς σοῖο θεοῖς ἐπείκελ' Ἀχιλλεῦ. ἀντὶ τοῦ πατρός.

Ἐμπειρία πείρας διαφέρει. πεῖρα μὲν γὰρ ἐφ' ἑνὸς ἢ δύο γνῶσις ἐστὶ δοκιζομένη. ἐμπειρία δὲ ἡ ἐπὶ πολλῶν κατάληψις βεβαία. πάλιν δὲ τέχνη ἐμπειρίας διαφέρει. ὅλη ἡ μὲν ἐν τοῖς κανόσιν. ἡ γραμματικὴ δὲ τέχνη ἀδιάπτωτος, ὡς καὶ ἡ ἐπιστήμη.

Ἔνδον καὶ ἔσω διαφέρει. ἔνδον μὲν γὰρ τὸ ἐν τόπῳ σημαίνει. ἔσω δὲ καὶ εἰς τόπον. ἔνδον μὲν γάρ ἐστιν ὁ παῖς. ἔσω δὲ εἰσέρχομαι. ἀμφότερα οὖν ὁ λέγων, ἔνδον εἰσέρχομαι, ἢ ἔσω ἐστὶν ὁ παῖς. Σοφοκλῆς τὴν διαφορὰν συγχεῖ. φησὶ γὰρ ἐν τραχινίαις. δωμάτων αἱ τ' ἔσω τέγης. αἱ τε ἐκτός. δέον εἰπεῖν γυναῖκες αἱ τ' ἔνδον. καὶ εὐριπίδης ἐν ἡρακλείδῃ, τὸν γέροντα τὴν τ' ἔσω γραῖαν δόμων. ἀντὶ τοῦ ἔνδον. εὔβουλος ὁ τῆς μέσης κωμῳδίας ποιητὴς ἐν καλαθηφόροις. ὅπως δὲ πείσεθ' ὅτι τὴν γέρων ἔσω, δέον εἰπεῖν ἔνδον.

Ἐνταυθοῖ καὶ ἐνταῦθα. ἐνθάδε διαφέρει. ἐνταυθοῖ μὲν γὰρ τὴν ἐν τόπῳ σημασίαν δηλοῖ. ἐνταῦθα δὲ τὴν ἐν τόπῳ, καὶ τὴν εἰς τόπον, ὁμοίως καὶ τὸ ἐνθάδε. τὸ δ' ἐνταῦθα, καὶ ἐνθάδε, καὶ τὴν ἐν τόπῳ, τὴν εἰς τόπον, καὶ ἀντὶ χρονικοῦ ἐπιρρήματος τοῦ τότε. ἐπὶ μὲν οὖν τοῦ ἐνταυθοῖ. ἐνταυθοῖ νῦν ἥσω κώας ἀπερύκων, ἐπὶ δὲ τοῦ ἐνταῦθα, Σοφοκλῆς ἐν ἡλέκτρᾳ, ἐνταῦθα πέμψειν, ἔνθα μή ποθ' ἡλίου φέγγος καθορᾷ. ἔχει γὰρ καὶ τὴν εἰς τόπον σημασίαν, καὶ τὴν ἐν τόπῳ. ὁμοίως καὶ ἐπὶ τοῦδε. ἔνθα φησὶν ἡ καλυψὼ ἐνθάδε καῦθι μενῶν σὺν ἐμοὶ τόδε δῶμα φυλάσσοις, ἕκτωρ φησί, σὲ δ' ἐνθάδε γῦπες ἔδονται. ταῦτα γὰρ τὴν ἐν τόπῳ σημασίαν δηλοῖ. τὰ δ' εἰς τόπον οὕτως. τοῦ δ' αὐτοῦ λυκόβαντος ἐλεύσεται ἐνθάδ' ὀδυσεύς, ἀπὸ τοῦ ἔνθα ἐν τόπῳ. ἔνθα μὲν αἴας κεῖται ἀρήϊος. ἔνθα δ' ἀχιλλεύς, εἰς τόπον. ἔνθα κατεπλέομεν καὶ ἅς θεὸς ἡγεμόνευσεν. ἀντὶ χρονικοῦ ἐπιρρήματος τοῦ τότε ἔνθ' αὖ τυδείδῃ διομήδεϊ παλλὰς ἀθήνη.

Ἐνθύμημα ἐνθύμιον διαφέρει. ἐνθύμημα μὲν γάρ ἐστι ποιοῦ λόγου σχῆμα. τὸ δ' ἐνθύμιον ἐτίθετο ἐπὶ τοῦ πρὸς ἑσπαίου παρ' ἀττικοῖς. ὁ γοῦν ἀνδρὶ ἐν τοῖς φοινικοῖς φησι, πυθέως οὗτος ὑμῖν ἐνθύμιον γενήσεται.

Ἔνδοξος καὶ ἐπίδοξος διαφέρει. ἔνδοξον μὲν γάρ ἐστι, ὁ ἐπίσημος. ἐπίδοξος δὲ, ὃ προσδοκώμενος, ἐλπιζόμενον.

Ἕνεκα καὶ χάριν διαφέρει. ὁ μὲν γὰρ ἕνεκα, ἀναλίσκει τὴν αἰτίαν δηλοῖ. οἷον ἕνεκα Ἀλεξάνδρου, ἕνεκα ἑλένης ἐστράτευσε μενέλαος. ὁ δὲ χάριν, μετὰ τῆς αἰτίας δηλοῖ καὶ τὴν χάριν. χάριν μενελάου Ἀχιλλεὺς ἐστράτευσε. τουτέστι, μενελάῳ χαριζόμενον.

Ἐννοεῖν καὶ ἐννοεῖσθαι διαφέρει. ἐννοεῖν μὲν γὰρ ἄφνω μὴ ἐπιστήσας. ἐννοεῖσθαι δὲ ἀπὸ μακρᾶν διαλογιζόμενον.

Ἐξόου καὶ ἐξότου διαφέρει. ἐξόου μὲν τὸ χρόνου. ἐξότου δὲ τοῦ ἐξούτινος.

Ἐξανέψιοι καὶ ἐξαδελφοί διαφέρει, καὶ βαρυτόνως προφέρονται τοὔνομα. φησὶ γὰρ ἐξόφων ἐν δευτέρῳ περὶ ἀττικῆς προσῳδίας.

ἀξανέψιοι, ὡς ἀμέριμνοι. ἀνασελλομένης τῆς ὀξείας ἐκ τοῦ ἀνεψιοὶ ὀνόματος ὀξυνομένου. εἰσὶ δὲ οἱ μὲν ἀνεψιοὶ τῶν ἀδελφῶν παῖδες. καθὰ καὶ ἡμεῖς ἐκδεχόμεθα. ἀξανέψιοι δὲ οἱ τῶν ἀνεψιῶν παῖδες.

Ἐ οἰκότα εἰκότων διαφέρει. τὰ μὲν γὰρ πίστεως ἐχόμενα. τὰ δ' ἐμφερῆ εἰκότα.

Ἐ πικήδιος καὶ θρῆνος διαφέρουσι. ἐπικήδιον μὲν γάρ ἐστι δ' ἐπὶ τοῖς κήδει. θρῆνος δὲ τὸ ἐν ᾠδῇ, οὕτω τρύφων. ἀριστοκλῆς ὁ ῥόδιος ἐν τοῖς περὶ ποιητικῆς τόμοις, φησὶ γὰρ θρῆνος δ' ἐστὶν ᾠδὴ τῆς συμφορᾶς. οἰκεῖον ὄνομα ἔχουσα, ὀδυρμὸν ἔχει σὺν ἐγκωμίῳ τοῦ τελευτήσαντος. ἑνὲς μὲν οὖν κοινῶς πάντα εἶπον θρήνους. οἱ δὲ διαφέρειν, θρῆνόντε ἐπικήδιον. τὸ τὲ θρῆνον ἄδεσθαι παρ' αὐτῇ τῇ συμφορᾷ, πρὸ τῆς ταφῆς, καὶ μετὰ τὴν ταφήν. καὶ κατὰ τὸν ἐνιαύσιον χρόνον τὰς κηδείας ἀδόμενον ὑπὲρ τῶν τεραπαινίδων, ὧν τῶν σὺν αὐταῖς. τὸ δ' ἐπικήδιον ἐπαινῶ ἕνα τοῦ τελευτήσαντος μετὰ ἑνὸς μετρίου χειτλιασμοῦ.

Ἐ πιγραφὴς εὐγραφοῦς διαφέρει. ἐπιγραφὴς ὁ προσακλικός, καὶ ἐπιμελής. εὐγραφὴς δ' ὁ ἐπιδέξιος ἐν ταῖς μεταβολαῖς.

Ἐ πίκουροι καὶ σύμμαχοι διαφέρουσιν. ἐπίκουροι μὲν γάρ εἰσιν, οἱ τοῖς πολεμουμένοις βοηθοῦντες, καὶ συλλαμβανόμενοι. σύμμαχοι δὲ οἱ τῶν πολεμούντων. ὅμως δ' ὅλως ἐφύλαξε τῆς ποιήσεως τὴν διαφοράν. οὐκ ἔστιν οὖν παρ' αὐτῷ ἐπικούρους ἑλλήνων λεγομένους, ἀλλὰ τρώων.

Ἐ πιθεῖναι καὶ ὑπισκῆψαι διαφέρουσιν. ἐπιθεῖναι μὲν διὰ γραμμάτων. ὑπισκῆψαι δὲ διὰ λόγων.

Ἐ παγγέλλει καὶ ἐπαγγέλλει διαφέρει. ἐπαγγέλλει μὲν τὸ προσάσει. ἐπαγγέλλει δὲ τὸ ὑπισχνεῖται. ὑπισχνεῖται δὲ ὁ τῷ αἰτήσαντι δώσειν ὁμολογήσας. ἐπαγγέλλεται δὲ ὁ ἀφ' ἑαυτοῦ δώσειν ὁμολογήσας.

Ἐ πιτίμιον καὶ ὑπέρτιμον διαφέρει. ὑπέρτιμον μὲν γὰρ ἡ ξενία. ἐπίτιμον δὲ τὸ τῆς τιμῆς μετέχον. ὥς τε οὐ δεῖ λέγειν ἀξέτισε τὸ ἐπίτιμον. ἀλλ' ἀξέτισε τὸ ἐπιτίμιον.

Ἐ πικηρύξαι καὶ ἐπικηρυκεύσασθαι διαφέρει. ἐπικηρύξαι μὲν γὰρ ἔλεγον τὸ ὑποχέσθαι χρήματα, δώσειν τῷ συλλαβόντι, καὶ ἀνάγοντες ἢ ἀποκτείναντές ἕνα τῶν καταδικασθέντων. οἱ ἀθηναῖοι ἐπεκήρυξαν εἰ μή τις ζῶντα ἀνάγοι τὸν δ' ἀγορᾶν δ' μίλιον δώσειν τάλαντον. εἰδ' ἀνέλοιτο ἥμισυ. ὑπικηρυκεύσασθαι δὲ ἔλεγον τὸ περὶ συμβιβάσεως καὶ σπονδῶν τὰς πόλεις κήρυκας πρὸς ἀλλήλας διαπέμψασθαι.

Ἐ πίτιμος καὶ ὑπέρτιμος διαφέρει. ἐπίτιμος μὲν γὰρ ὁ ἔνδημος. ἐπιτίμιος δὲ ὁ ἐπιζήμιος, καὶ ἐπίπληκτος. ἀφ' οὗ τὴν ἐπίπληξιν ἐπιτίμιον φαμέν, καὶ ἐπιτίμησον αὐτὸν ἀντὶ τοῦ ἐπίπληξον.

Ἐ πιχαίρειν καὶ συγχαίρειν διαφέρει. ἐπιχαίρειν μὲν γάρ ἐστιν τὸ συνεπιγελᾶν τοῖς ἀλλοτρίοις κακοῖς. συγχαίρειν δὲ τὸ σωκήδεσθαι ἑνὸς ἀγαθοῖς.

Ἐ πιδολικὸς μὲν ἐστιν. ὁ δεσμοῖς ἐπιδιδός. μεταδολικὸς δὲ ὁ φίλοις.

Ἐ ρωθῶν τοῦ πυθάνεσθαι διαφέρει. πυθάνεσθαι μὲν γάρ ἐστι, τὸ κατ' ἀκοὴν διεξοδικῶς ἀκούειν τὰ ὑπό τινος λεγόμενα αὐτὸ οὐ δ' ἐρωτῶντα. ἐρωτᾶν δὲ δ' ἐθέλειν τινὰ κεφαλαιώδη λαβεῖν ἀπόφασιν, περὶ τοῦ ὑποκειμένου πράγματος. ὁ γοῦν πτόλεμαχός φησι πρὸς τὸν νέστορα. εἴρεαι ὁ πόθεν εἰμί, ἐγὼ δὲ κέτοι καταλέξω, καὶ ἀχιλλεύς φησιν. Ἀλλ' ἴθι νῦν πατροκλεῆδή φίλε νέστορ ἐρεῖς ὅν τινα τοῦτον ἄγῃ. ὅτι δὲ τοῦ πυθάνεσθαι. Ἐπὶ φιλῶ τοῦ ἀκούειν τάσσεται, φανερὸν ἐκ τοῦ λέγειν πτόλεμαχον, νῦν δ' ὅτι μέγας εἰμί, καὶ ἄλλων μύθων ἀκούων πυθάνομαι καὶ δήμοι αὔξεται ἔνδοθι θυμός. καὶ ὀδυσσεὺς φησὶ πυθανόμην ἰθάκηνδε, καὶ ἐν τροίῃ εὐρείῃ. κατὰ δὲ τοὺς φιλοσόφους ἐρώτησίς ἐστι, φράσις συμβολικὴ ἀποκρισιν ζητοῦσα, οἷον νέον, ἀμφίβολον, σαφές, ἄδηλον. αὗται καὶ αἱ πέντε ἀπόφασεις, συμβολικαὶ καλοῦνται. ἔστι μὲν τοιγε ὅτι οὐχ οὕτως. ἀλλ' ἑτέρως ἀποκρινόμεθα πρὸς τὰς ἐρωτήσεις, οἷον ἡμέρα ἐστί. καὶ οὕτως, ἡμέρα ἔστιν ἡμέρα, καὶ οὕτως, ἡμέρα ἐστίν. πεῦσις δὲ ἐστι λέξις πρὸς ἣν οὐκ ἔστι συμβολικῶς ἀπεκρίνεσθαι, οἷον ποῦ οἰκεῖ ἀρίστων. φησὶ γὰρ ἐν

τῷδε τῷδ' τόπῳ. καὶ ποῖος ἔβη ἀνδρόμαχος κἠδ' ἀποκείνεται, ὅτι ἐπὶ πύργον ἔβη μέγαν Ἰλίου ὅωνεκ' ἄκρε τείχεσθαι ἕῶας, οὐ γὰρ ἀνυεχώρεα ἀνταῦτα συμβολικῶς εἰπεῖν ναὶ ἢ οὔ. κατάτι οὖν περὶ τῆς διαφορᾶς ταύτης φέρουσι. καὶ οἱ φιλόσοφοι συμφώνως τοῖς προειρημένοις. ποτάμ' περὶ δὴ διαφορᾶς φησὶν οὕτως.

Ἐρώτησις πεύσεως ἀνακρίσεως διαφέρουσιν. ἐρώτησις μὲν γάρ ἐστι, σάωτομεν ἀπόκρισις. πεύσις δὲ μακρᾶς πράξεως ἀπαγγελία. ἀνάκρισις δ' ὑποδεεστέρων ἀξιήγησις.

Ἔρως καὶ πόθος διαφέρουσιν. ἔρως μὲν γὰρ τῶν παρόντων. πόθος δὲ τῶν ἀπόντων.

Ἐρᾶν καὶ ποθεῖν διαφέρει. ἐρᾶν μὲν γάρ ἐστι τῶν ἐν ὄψει. ποθεῖν δὲ τοὺς ἀπόντας. διασέλλει δὲ καὶ ὅμηρος. ὡς ἔστο νῶϊ ἔραμαι, καί με γλυκὺς ἵμερος αἱρεῖ. πρὸς τὴν ἥρην φησὶν ὁ Ζεὺς παρεστῶσαν. ἐπὶ δὲ τῶν ἀπόντος, ἀλλὰ μεστὸ πόθος. σάπε μήδεα φαίδιμ' ὀλυνεῦ. σκτ' ἀγανοφροσύνη μελιηδέα θυμὸν ἀπηύρα. φυλάσσει δ' ἄκρως ὁ ποιητὴς τὰς τοιαύτας ἐναλλαγάς.

Ἐρωτᾶν μὲν ἐστι τὸ θέλειν κεφαλαιώδη λαβεῖν ἀπόφασιν ἢ ναὶ ἢ οὔ. πυνθάνεσθαι δὲ τὸ καὶ διέξοδον ἀξιοῦν πράγματος, οἷον πῶς ἐπλεμήσατε.

Ἔρως μὲν ἐστιν ἐπιβολὴ φιλοπαιΐας. πόθος δ' ἀπόντος. ἵμερος δ' ἔρως πανίζων δὴ πρὸς τὸν ἐρώμενον χρείας.

Ἔσται τοῦ γενήσεται διαφέρει. ἔσται μὲν γὰρ τὰ καὶ νῦν ὄντα. γενήσεται δὲ, τὰ ἐνεστῶτος τοῦ ἐξόμενα. οἷον νέος, πρεσβύτης ἔσται. ἐνθ' δ' ἀτέκνω, παῖδες ἐνεστήσονται. ἄλλως ἔσται μὲν γὰρ ὑποκείμενον οἷον ὁ παῖς, ἔσται ἀνὴρ, ἐνεστήσεται δὲ τὸ ἄρισ.

Ἐσιάπαν καὶ δαυτμῶν διαφέρει. ἐσιάπαν μὲν γὰρ ὁ ὑπεδοχεύς. δαυτμόνες δὲ οἱ ὀστώμενοι.

Ἑσπέρα καὶ ὀψὲ διαφέρει. ἑσπέρα μὲν γάρ ἐστι δυομένου τοῦ ἡλίου. ὀψὲ δὲ βραδέως καὶ μεθοντιοῦν χρόνου. διατοῦτο καὶ προσιθέασιν, ὀψὲ δὴ ἡμέρας.

Ἑταῖρος καὶ φίλος διαφέρουσιν. ὁ μὲν γὰρ φίλος καὶ ἑταῖρος, ὁ δ' ἑταῖρος οὐ πάντως φίλος. διὸ καὶ ἐστὶ τοῦ ἀνέμου φησὶν ὅμηρος. πλησίστιον ἐσθλὸν ἑταῖρον, καὶ ἄλλως. φίλοι μὲν κοινῶς λέγονται πάντες οἱ τὰ δὴ φιλίας δίκαια πρὸς ἑαυτοὺς ἔχοντες. ἑταῖροι δὲ ἰδίως οἱ καὶ τῇ ἡλικίᾳ παρὰ πλησίον ἔχοντες, καὶ ἐν σωκθείᾳ, καὶ ἐν σωδγίᾳ πολὺν χρόνον γεγονότες.

Ἑτερόφθαλμος καὶ μονόφθαλμος διαφέρουσιν. ἑτερόφθαλμος μὲν γὰρ ὁ κατὰ περὶ πῆωσιν πεπωθεὶς τὸν ἕτερον τῶν ὀφθαλμῶν. μονόφθαλμος δὲ, ὁ μόνον ὀφθαλμὸν ἔχων, ὡς ὁ κύκλωψ.

Ἕτερος καὶ ἄλλος διαφέρει. ἕτερος μὲν ἐπὶ δυεῖν τάσσει. ὡς Ὅμηρος φολκόσ' ἔνη, χωλός δ' ἕτερον πόδα. τὸ δὲ ἄλλος ἐπὶ πολλῶν, ὡς αὐτὸς Ὅμηρος δίδ' ἡμεῖς οἴσομεν ἄλλον.

Εὐφυὴς καὶ εὐμαθὴς διαφέρει. εὐφυὴς μὲν γὰρ λέγεται παρὰ ἀπίκοις ὁ σκωπτικός. εὐμαθὴς δὲ ὁ εἰς τὸ μαθεῖν ταχύς.

Εὑρεῖν καὶ εὑρεῖν διαφέρει. εὑρεῖν μὲν γὰρ τὸ καὶ ἐν τῇ σωκθείᾳ. εὑρεῖν δὲ οἱονεὶ τὸ ἐκπορίσασθαι. μένανδρος δυσκόλῳ, εὗ γκκὸς κἀγὼ τοῦτον τέχνιν. Δίφυλος ἐν πύξῃ. δῶρον δ' ἐμαυτῇ παρὰ θεῶν εὑρεμένον.

Εὔμορφος εὐειδὴς διαφέρει. εὔμορφος μὲν γὰρ ὁ τὴν μορφὴν εὖ ἔχων. οἷον εὐπρόσωπος, καὶ γὰρ τὸ τὴν ὄψιν πῶς σχηματίζειν, μορφάζειν λέγομεν. εὐειδὴς δ' ὁ τὸ εἶδος καλῶς ἔχων, οἷον πᾶν τὸ σῶμα.

Εὐθὺς εὐθὺ καὶ εὐθέως διαφέρουσιν. εὐθὺς μὲν γὰρ ὁ κανών. εὐθὺ δὲ τὸ γυμνάσιον. αὐτὸ κατ' εὐθεῖαν τοῦ γυμνασίου. ἢ εὐθύ, τὸ κανόνιον. τὸ δ' εὐθέως, ἀντὶ τοῦ χρονικοῦ ἐπιῤῥήματος. ὁ σαῦ ἐναλάσσων ἀμφτάνει. καθὰ μένανδρος ἐν δυσκόλῳ. τί φῆς ἰδὼν ἐνθένγε πᾶς δ' ἐλεύθερῶν, ἀπῆλθες εὐθύς, ὡς ταχύ. τινὲς μὲν τοι τῶν ἀρχαίων φασὶ, καὶ τὸ εὐθὺς ἀντὶ χρονικοῦ κεῖσθαι. φασὶ γοῦν καὶ λέξιν. ἔνιοι δὲ τὸ μὴ εὖ λέγειν, ἐπὶ τιμῆς εὐθέος, οἷον ἐὰν μοὶ ἡ θηλυκὸν τοὔνομα ἡ εὐθεῖα ὁδός. εὐθεῖα βακτηρία, ἐὰν δὲ ἄῤῥεν, εὐθὺς ὁ κανών. ἐὰν δ' οὐδέτερον εὐθὺ τὸ ξύλον. οἱ δ' ἀρχαῖοι ἐνίοτε τὸ εὐθὺ ἐτίθεσαν. τὸ ἐφ' ὁδοῦ καὶ τεινόσης τῶν ἔνος τόπου. εὐθὺ καὶ ἐσὰς εὐθὺ τῶν ἀρωμάτων. ὁ δὲ καὶ τοὺς χρόνους οὐλέγει, ἀλλ' εὐθὺς οἷον γήμαντος δ' αὐτοῦ, εὐθὺς ἔσομαι ἐλεύθερος, καὶ ὡς

τοῦτ εἶδεν, εὐθὺς ἢν ἄνω, κάτω.

Εὐφραίνεσθαι καὶ ἥδεσθαι διαφέρει. πλάτων προταγόρα, εὐφραίνεσθαι μὲν γάρ ἐστι, μανθάνοντά τι καὶ φρονήσεως μεταλαμβάνοντα αὐτῇ τῇ διανοίᾳ. ἥδεσθαι δὲ ἐσθέοντά τι αὐτῷ τῷ σώματι.

Εὐθὺς καὶ εὐθὺ διαφέρει. τὸ μὲν γὰρ εὐθὺς χρόνιόν ἐστιν ἐπίρρημα. τὸ δὲ εὐθύ, τὸ ἐξ ἐναντίας δηλοῖ.

Εὐεργεσία καὶ χάρις διαφέρει. εὐεργεσία μὲν γάρ ἐστιν ἡ μεγάλη χάρις. χάρις δὲ ἡ ἐλάττων. οἷον χιτῶνα, ἢ κάνα χαρίζεται εὐεργετεῖ δὲ οὔ.

Εὐθὺ καὶ ὀρθὸν διαφέρει. τὸ μὲν γὰρ εὐθὺ τῇ ἀντίκειται τῷ στρεβλῷ. τὸ δὲ ὀρθὸν, τῷ πλαγίῳ.

Εὖ τοῦ καλῶς διαφέρει. εὖ μὲν τὸ ὀρθῶς σημαίνει. καλῶς δὲ τὸ χρήσιμον. σημαινόμενον τὸ οὖν εὖ καὶ καλῶς σημαίνει ὀρθῶς καὶ χρήσιμως.

Ἐχθρὸς πολεμίου δυσμενοῦς διαφέρει. ἐχθρὸς μὲν γάρ ἐστιν, ὁ πρότερον φίλος. πολέμιος δ' ὁμεθ' ὅστις χωρῶν πέλας. δυσμενὴς δ' ὁ χρόνιον πρὸς τόν ποτε φίλον τὸ μῖσος διαπρῶν, καὶ δυσδιαλάκτος ἔχων.

Ζῆλος καὶ ζηλοτυπία διαφέρει. ζηλοτυπία μὲν γάρ ἐστιν αὐτὸ τὸ πάθος. ἤγουν τὸ ἐν μίσει ὑπάρχον. ζῆλος δὲ μίμησις καλοῦ. οἷον ζηλοῖ τὸν καθηγητὴν ὁ παῖς. ζηλοῖ δὲ γείτονα γείτων ἡσίοδος. ἐπὶ καλοῦ ζηλοτυπεῖ δὲ ἡ δεῖνα τόνδε.

Ζηλῶσαι τοῦ ἐρῆσαι διαφέρει. ζηλοῦν μὲν γάρ ἐστι. τὸ σὺν θυμίᾳ μιμεῖσθαι. ἐρῆσαι δὲ τὸ μετὰ μάχης φιλονεικεῖν.

Ζῆλος φθόνου διαφέρει. ζῆλος μὲν γάρ ἐστιν ἡ δι' ἐπιθυμίαν μίμησις γινομένη, δοκοῦντος τινὸς καλοῦ. φθόνος δὲ βασκανία τις, τῶν ἄλλοις μὲν προσόντων ἀγαθῶν, ἡμῖν δ' οὔ.

Ζῆλος μέν ἐστι λύπη ἐπὶ ἀλλοτρίοις ἀγαθοῖς, οἷα νῦν ἑαυτῷ τι θυμεῖ περιπεσόν.

Ζήλου τρία εἴδη. ὁ μὲν γάρ ἐστι μακαρισμός. καθὰ καὶ φησί τις ζηλῶ τὸν τοῦ δεῖνα ἐπὶ τῷδε. δεύτερος καθὸ ζηλωτής τινος λέγεται. οἷον θησεὺς ἡρακλέους. τρίτος δὲ ὀφθόνῳ ὅμοιος.

Ζυγὸς, ἀρσενικῶς μὲν ἐπὶ τῶν βοῶν. θηλυκῶς δὲ ἐπὶ τῶν σταθμῶν.

Ζώνη καὶ ζώνιον διαφέρει. ζώνη μὲν γάρ ἐστιν ἡ τοῦ ἀνδρός. ζώνιον ἡ φλογωμικός.

Ἠγέρθη καὶ ἀνέστη διαφέρει. ἠγέρθη μὲν λεκτέον ἀπὸ ὕπνου. ἀνέστη δὲ ἀπὸ κλίνης.

Ἦθος μὲν ἐστιν ἀρχὴ ἐπιτηδεύματος. τρόπος δὲ τὴν τάσις πράξεων κατάστασιν καὶ ἀναστροφήν.

Ἤλπισαν καὶ ἐπήλπισαν διαφέρει. ἤλπισαν μὲν γὰρ αὐτοί τινας ἐλπίδας ἔχοντες περί τινος. ἐπήλπισαν δὲ ἕτεροι ἑτέρους εἰς ἐλπίδα ἤγαγον.

Ἡμέρα ἠῶς διαφέρει. ἡμέρα μὲν γάρ ἐστι, τὸ κατάστημα μόνον ἀσώματον, ἣν ἡσίοδος νυκτὸς γενεαλογεῖ. νυκτὸς δ' αὖ ἀθήρτε καὶ ἡμέραι ἐξεγένοντο. ἠῶς δὲ σωματωμφώτερον. ὃν πάλιν ἡσίοδος θείας ὑποτίθεται, θεία δ' αὐτὴ ἡλιόντε μέγαν λαμπράντε σελήνην. ἠῶς τ' ἠ πάντεσσιν ἐπιχθονίοισι φαείνει δεῖνα. ἐστὶ δὲ καὶ σωματοειδὴς ἀλλ' ἤτοι τοῦτον μὲν χρυσόθρονος ἤρπασεν ἠώς.

Ἡς καὶ ᾗδα καὶ ᾔ διαφέρει. τὸ μὲν γὰρ ᾗδα, παρῳχημένον δηλοῖ χρόνον. τὸ δὲ ᾗς, τὸν μέλλοντα. Ὅμηρος δηλοῖ ἢ μὲν μοι δὲ πάρος πολὺ φίλτατος ᾗδα. ἐστὶ δὲ τοῦ ᾗς μέναινδρος ἐν φθυδηραπλεῖ. ὑπὲρ μὲν οἶνον, μὴ δὲ γρὺ τυτθὴ λέγε. ἂν τάλλα δ' ᾗς ἄμεμπτος εἰς πλὴν ἕκτην βοηδρομιῶν ἐνδελεχῶς ἕξεις ἀεί. καὶ καθόλου πάντε οὔπω λέγεται ἐπὶ τοῦ μέλλοντος, καὶ κατὰ πλὴν ἡμετέραν συνήθειαν. οἷον, ἐὰν νοῇς, ἐὰν λαλῇς ὅπως λαλῇς. ἐὰν ᾖς ἀγαθός. ὁ γοῦν λέγων πρός τινα, ἢς ποτε πλούσιος, ἀγνοήσει πλὴν διαφορὰν. δέον φᾶναι ᾗδα τὸ δὲ ᾔ, ἀντὶ τοῦ ἔφη τάττει. Ὅμηρος, ἢ καὶ κυανέσσιν, διαφέρει δὲ τὰ ῥήματα, τῇδε. ὅτι τὸ μὲν, ἐπὶ τρίτου προσώπου μόνον τάττεται. τὸ δὲ ἔφη, ἐπὶ τριῶν ὡς ἔφημεν.

Ἡσυχία, ὁ τὲ μὲν σιωπὴν σημαίνει ὁτὲ δὲ πλὴν ἐπιείκειαν. ὁπότε φαμὲν, ἐν πολλῇ διάγειν ἡσυχίαν.

Θαλάμας ὡς ἀγαθὰς, καὶ θαλάμας ὡς μεγάλας διαφέρει. φησὶ τρύφων

παρὰ τοῖς ἀττικοῖς ἐν δευτέρῳ περὶ ἀττικῆς ἐν προσῳδίας. ἐὰν μὲν γὰρ ὀξυτονήσωμεν δηλώσει τὸ τῶν διοσκούρων ἱερόν. ἐὰν δὲ βαρυτονήσωμεν, τὰς καταδύσεις μηνύει.

Θαυμάζω γυνῇ μὲν σωταπόμενον, σημαίνει τὸ καταγινώσκω καὶ καταπορῶ, οἷον θαυμάζω τῶν ταύτῃ ἐχόντων τὴν γνώμην. ἀθηναικῇ δὲ τὸ ἐπαινῶ, οἷον θαυμάζω τοὺς οὕτω φρονοῦντας.

Θεομαχία καὶ θεομαχία διαφέρει. θεομαχία μὲν γάρ ὅτι ἡ πρὸς θεὸν μάχη. θεομαχία δὲ, αὐτῶν τῶν θεῶν πρὸς ἀλλήλους μάχη.

Θεωρὸς καὶ θεατὴς διαφέρει. θεωρὸς μὲν γάρ ἐστιν, ὁ εἰς θεοὺς πεμπόμενος. θεατὴς δὲ, ὁ ἀγόνων καὶ θεάτρων, ὁπότερον θεατὴς ἢ χάριν μαντευμάτων, καὶ ἀσχύλος. βοᾶς τοιοῦδε πράγματος θεωρὸς ὤν. ἁμαρτάνουσιν οὗν οἱ λέγοντες, θεωρῆσαί με δεῖ τὸν ἀγῶνα. δέον εἰπεῖν, θεάσασθαι. διαείλεα οὖν τὸν ὠμιμελῶς λυσιμαχίδης ἐν τῷ πρὸς κεκίλιον περὶ τῶν παρὰ τοῖς ἀττικοῖς ῥητόρων, καὶ πολλῶν παραθέσεις ποιεῖται, καί ὅτι τὸ θεάσασθαι, ὥσπερ πρόκειται παρὰ τὴν θέαν. τὸ δὲ θεωρεῖν φησιν οὐκ ἄλλοτι, ἢ τὸ τῶν θεῶν ὠρεῖν. τοῦτο δὲ, τὸ φροντίζειν. διὸ καὶ τοὺς τῶν θεαμάτων ἕνεκα πεμπομένους, οὐ θυσίας δὲ καὶ εὐσεβείας, πάντας ὠνόμαζον θεωρούς, καὶ δ' τοῖς ἀθηναίοις διδόμενον θεωρικόν. οὐχὶ τὰς θέας. ὡς κεκίλιος ὑπέλαβεν, ἀλλὰ διὰ τὸ ἑορταῖς εἰς τοὺς θεοὺς εὐσεβεῖν καὶ ἐπὶ θεῖν καὶ εὐφραίνεσθαι.

Θεράποντες καὶ οἰκέται διαφέρουσι. θεράποντες μὲν γὰρ οἱ ὑπὸ πεταγμένοι φίλοι ὑφ' ὧν θεραπεύονται οἱ προσήκοντες. οἰκέται δὲ δεσποτῶν.

Θέσθαι καὶ ὑποθέσθαι διαφέρει. θέσθαι μὲν γάρ ὅτι δ' λαβεῖν ὑποθήκην. ὑποθέσθαι δὲ τὸ δοῦναι ὑποθήκην.

Θέλειν καὶ βούλεσθαι ἐὰν λέγῃς, δηλώσει. ὅτι ἀκουσίως τε καὶ εὐλόγως ὀρέγεταί τινος.

Θερίζειν, τόπον διατρίβειν τῶν τοῦ θέρους ὥραν, ὡς δ' χαμάζειν, καὶ τὸ τοὺς δυμηνιαίους καρπούς συλλέξαι.

Θηβαῖοι καὶ θηβαγενεῖς διαφέρουσιν. καθὼς Δίδυμος ἐν ὑπομνήματι τῷ πρώτῳ τῶν παιάνων πινδάρου φησίν. καὶ τὸν τρίποδα ἀπὸ τούτου θηβαγενεῖς πέμπουσι τὸν χρύσεον εἰς ἰσμηνὸν πρῶτον. τίδ' ὅτι διαφορὰ θηβαγενέων πρὸς θηβαίους ἔφορος ἐν τῇ δευτέρᾳ φησί. οὗτοι μὲν οὖν συνεπτάχθησαν εἰς τὴν βοιωτίαν, τοὺς δὲ τοῖς ἀθηναίοις ὁμόρους προσοικοῦντας, ἰδίᾳ θηβαῖοι προσηγάγοντο πολλοῖς ἔτεσιν. ὕστερον δὲ οἱ σύμμικτοι ἦσαν πολλαχόθεν. ἐνέμοντο δὲ τὴν ὑπὸ τὸν κιθαιρῶνα χώραν. καὶ τὴν ἀπομάντιον τῆς εὐβοίας ἐκαλοῦτο δὲ θηβαγενεῖς, ὅτι προσεγένοντο τοῖς ἄλλοις βοιωτοῖς, διὰ θηβαίων.

Θὴς λάτρις ἀμφίπολος ἄτιμος διαφέρουσι. θὴς μὲν γὰρ ὁ ἐπὶ μισθῷ δουλεύων, θῆτες τε δμῶες τε, λάτρις δὲ ὁ κατὰ πολεμικὴν περίστασιν ἁλός, καὶ ἐπὶ δουλείαν προσαχθείς. ἀμφίπολος δὲ κοινὸν ὄνομα ἄρρενος καὶ θηλείας δούλης. ἄτιμος δὲ, οὐ μόνον ὁ δοῦλος ἀλλὰ καὶ ὁ ὑποτεταγμένος ἐλεύθερος.

Θρᾶσος καὶ θάρσος διαφέρει. θρᾶσος μὲν γάρ ἐστιν ἡ ἄλογος ὁρμή, θάρσος δὲ ἔλλογος ὁρμή.

Θύρα καὶ θυραία διαφέρει. θύρα μὲν γάρ ἐστιν ἡ ἀρχαῖος γνομένη. μένανδρος ἐν παρακαταθήκῃ θύραν ἔξελε. θυραία δὲ τὸ μέλλον πρὸς ἐκκοπὴν θύρας μέγεθος.

Θύεσθαι τὸ σφάττεσθαι διαφέρει. θύεσθαι μὲν γάρ ἐστιν, ἐπὶ τιμῇ θεοῦ, καὶ τὸ μαντεύεσθαι ἐπὶ τιμῇ διὰ σπλάγχνων. θύεσθαι φαμέν. σφάττεσθαι δὲ, τὸ δι' ἥν τινα οὖν αἰτίαν φονεύεσθαι. καὶ τὸ μὲν ἐπ' ἀλόγου, τὸ δ' ἐπ' ἀνθρώπου τάττεσθαι.

Θύουσι καὶ θύονται διαφέρει. θύουσι μὲν γὰρ οἱ σφάττοντες τὰ ἱερεῖα. θύονται δὲ οἱ διὰ τῶν σπλάγχνων μαντευόμενοι.

Θύρα καὶ θυραὶ διαφέρουσι. θύρα μὲν γάρ ἐστι τὸ ἐπίθεμα δ' ἐκ τῶν ξυλίνων. θυραὶ δὲ

τὸ ἄνοιγμα αὐτὸ, καὶ τὰ χαλάσματα τῆς θύρας.

Θυμὸς μὲν ὅτι πρόσκαιρος. ὀργὴ δὲ πολυχρόνιος μνησικακία.

Ἱερεῦσαι καὶ καθιερεῦσαι λέγουσιν, ἐπὶ τῶν θυομένων ἱερείων. ἱερῶσαι δὲ καὶ καθιερῶσαι ἐπὶ τῶν ἀνατιθεμένων.

Ἱερεῖον καὶ χρηστήριον διαφέρει. ἱερεῖον μὲν γάρ ὅτι κοινῶς τὸ σφαζόμενον πρὸς θυσίαν ἅπασι. χρηστήριον δὲ τὸ ἱερὸν ᾧ χρῶνται χρηστηριαζόμενοι. Ἡρόδοτος, καθάπερ ἔτι καὶ νῦν ὅταν χρηστήρια θύσιν τῷ Διὶ ἱερῷ.

Ἱερὰ τοὺς τε περιβόλους τῶν ναῶν, καὶ τὰ σφάγια, καὶ τὰ ὀστᾶ τῶν ἀνθρώπων. ὡς Ἡρόδοτος τῷ Διὶ κατὰ ἀρχιστρατήγου, καὶ τὰ ξόανα ὡς Θεόπομπος τῷ εἰκοστῷ ἕκτῃ.

Ἱκέσθαι καὶ ἀφικέσθαι διαφέρει. ὡς φησιν Ἡρακλείδης. ἱκέσθαι μὲν γάρ ὅτι τὸ ἐλθεῖν. ἀφικέσθαι δὲ τὸ ἐπανελθεῖν. ὅμως τινὲς διαφορὰν φησι οὐδ' αὐτὸς ἀφίκετο πατρίδα γαῖαν, καὶ ἵκετο δ' ἐς μεγαθῦνα καὶ εὐρυάγυιαν ἀθήνην.

Ἰουδαῖοι καὶ Ἰουδαῖοι διαφέρουσιν, ὡς φησιν Πτολεμαῖος ἐν πρώτῳ περὶ Ἡρώδου τοῦ βασιλέως. Ἰουδαῖοι μὲν γάρ εἰσιν οἱ ἐξ ἀρχῆς φυσικοί. Ἰδουμαῖοι δὲ, τὸ μὲν ἀρχῆθεν οὐκ Ἰουδαῖοι, ἀλλὰ φοίνικες καὶ σύροι, κρατηθέντες δὲ ὑπ' αὐτῶν καὶ ἀναγκασθέντες περιτέμνεσθαι καὶ συμπολεῖν εἰς τὸ ἔθνος, καὶ τὰ αὐτὰ νόμιμα κρίνεσθαι ἐκλήθησαν Ἰουδαῖοι.

Ἴπτες καὶ θρίπτες, καὶ κίες, καὶ ἴκτες διαφέρουσιν. ἴπτες μὲν γὰρ λέγονται θηρίδια τὰ διαβρωτικὰ τῶν κεράτων. Ὅμηρος, μὴ κέρα ἴπτες ἔδοιεν. θρίπτες δὲ, τὰ ἐσθίοντα τὰ ξύλα, καὶ θριπηδέσματα τὰ ὑπὸ θρίπων βεβρωμένα ξύλα. οἷς καὶ ἀντὶ σφαγίδων ἐχρῶντο. ὅτι ἦν δυσπαράπτα. κίες δὲ, τὰ ἐν τοῖς κριθοῖς καὶ ἐνταῖς πυροῖς θηρίδια. ἴκτες δὲ τὰ διεσθίοντα τοὺς ὀφθαλμοὺς τῶν ἀμπέλων. ἀλκμάν, καὶ ποικίλον ἴκα, τὸν ὀφθαλμῶν ἀμπέλων ὀλέσσα.

Ἴσοι καὶ κοινοὶ διαφέρει. πλάτων ἐν Πρωταγόρᾳ. χρὴ γὰρ τοὺς ἐν τοῖς δὲ λόγοις παραβυομένους κοινοὺς μὲν εἶναι ἀμφοῖν τοῖν διαλεγομένοιν ἀκροατάς. ἴσους δὲ μή. ἔστι γὰρ οὐ ταυτόν. κοινὸν μὲν γὰρ ἀκοῦσαι ἀμφοτέρων χρή. μὴ ἴσον δὲ εἶναι ἑκατέρῳ. ἀλλὰ τῷ σοφωτέρῳ πλέον, τῷ δὲ ἀμαθεστέρῳ ἐλάττον.

Ἰσοπολὴς καὶ μέτοικος διαφέρει. ἰσοπολὴς μὲν γὰρ ὁ τετιμημένος. μέτοικος δὲ ὁ ἐν τῷ ἴσῳ τάγματι τοῖς πολίταις, καὶ τὸ μὴ μετοίκιον μὴ τελῶν, πάντα δὲ ἔχων τὰ αὐτὰ τοῖς πολίταις πλὴν τοῦ ἄρχειν. μέτοικος δὲ, ὁ μετοικήσας εἰς ἑτέραν πόλιν ἐκ τῆς ἑαυτοῦ, καὶ τοῦ μὲν ξένου πλέον τι ἔχων, τοῦ δὲ πολίτου ἔλαττον. ἐτέλει δὲ ὁ μέτοικος κατ' ἐνιαυτὸν μετοικίου δραχμὰς δέκα, καὶ ἐν τῇ τῶν ἀθηναίων πομπῇ, σκάφιον ἔφερε κηρία ἔχουσαν, ὅθεν καὶ σκαφηφόρους ἔλεγον τοὺς μετοίκους. πολλάκις δὲ καὶ συνεστράτευον τοῖς ἀθηναίοις.

Ἰσθμὸς καὶ πορθμὸς διαφέρει. ἰσθμὸς μὲν γάρ ὅτι τῆς ἠπείρου δίοδος, ἑκατέρωθεν θαλάσσης περιρρεομένης. πορθμὸς δὲ ὅταν πέντε θαλάσσῃ πόρος ἑκατέρωθεν ὑπὸ γῆς διερχόμενος.

Ἴθι καὶ γίνωσκε διαφέρει. ἴθι μὲν γὰρ ἐπὶ τοῦ γίνωσκε τάσσεται. αὐτὴ δ' οἷον ἴθι, ἀντὶ τοῦ γίνωσκε, ὁ δὲ πληθυντικὸς ἴθε, ἀντὶ γινώσκετε. καὶ Μένανδρος ἐν ἥρωϊ. εὖ ἴθι κἀγὼ τοῦτο συγχωρήσομαι. τάσσουσι δὲ ὅμως, καὶ ἐπὶ τοῦ ἰδίου δ' ἴθι. Εὔφημος, ἴθι μόνον ἐξορμωμένη, ἀντὶ τοῦ γίνου.

Ἰσογραφος συγγραφέως διαφέρει. ἰσογραφος μὲν γάρ ὅταν ὁ τὰ πρὸ αὐτοῦ γεγενότα συγγραφόμενος. ὡς Ἡρόδοτος, συγγραφεὺς δὲ ὁ τὰ ἀφ' ἑαυτοῦ ὡς Θουκυδίδης.

Ἰσοδόκη καὶ ἰσοπέδη διαφέρουσι. ἰσοδόκη μὲν γάρ ὅταν ἐφ' ἧς ὁ ἰσὸς κατακλίνεται. Ὅμηρος, ἰσὸν δ' ἰσοδόκην τέλασαν. ἰσοπέδη δὲ ὁ ἐν μέσῳ τῷ νεὼς κοῖλος τόπος. ἔνιοι δὲ λινίδα καλοῦσι εἰς ὃν ὁ ἰσὸς ἐνιστάνεται. ἀλλάμε δεσμῷ, δήσαν ἐν ἀργαλέῳ ὄφρ' ἔμπεδον αὐτόθι μίμνῃ, ὀρθὸν ἐνισοπέδῃ.

Ἰταλοὶ Ἰταλιῶται διαφέρουσιν. Ἰταλοὶ μὲν γὰρ οἱ ἀρχαῖοι τὴν χώραν οἰκοῦντες. Ἰταλιῶται δὲ, ὁπόσοι τῶν Ἑλλήνων ἐπῴκησαν μετὰ ταῦτα. τὸ αὐτὸ καὶ ἐπὶ τῶν σικελιωτῶν.

Κατοίκησις καὶ κατοίκισις διαφέρει. ὡς φησιν Ἀπολλονίδης ὁ νικαεὺς ἐν τῷ περὶ τῶν ἐπθυμιῶν. κατοίκισις μὲν γάρ ἐστιν ἡ ὑφ' ἑτέρων γινομένη ἵδρυσις. κατοίκησις δὲ ὅταν αὐτοίκοι οἰκήσωσι τόπον ἢ πόλιν ἅμα καταλαβόντες. οἷον ἀθηναῖοι κατῴκησαν μὲν τὴν ἀκρόπολιν. κατῴκισαν δὲ ἴωνας, καὶ ἔστι παρὰ μὲν τὸ κατοικεῖν ἡ κατοίκησις. παρὰ δὲ τὸ καταοικίζειν ἡ κατοίκισις.

Καταβολὴ εἰσβολὴ διαφέρει. καταβολὴ μὲν γὰρ ἡ ἔκτισις τοῦ εἰσφερομένου ἀργυρίου. εἰσβολὴ δὲ περίοδος τοῦ πυρετοῦ.

Κάταμμα καὶ τάταγμα διαφέρει. κάταμμα μὲν τὸ ἐκπεταμένως τὸ κατεαγὸς καὶ σωπεπτριμμένον. κάταγμα δὲ βραχέως τοῦ ἔργου ἔλκυσμα.

Καταχύματα καὶ καταχύσματα διαφέρει. καταχύματα μὲν γὰρ χωρὶς τοῦ σ, τὰ καταχεόμενα ὕδατα ἐπὶ λουτρῶν καὶ τῶν ἄλλων ὁμοίων. καταχύσματα δὲ σὺν τῷ σ, αἱ ἰχάδες καὶ τὰ ἄλλα τραγήματα τῶν νέων, ἢ τῶν δούλων ἃ κατέχυνον. ἀριστοφάνης εἴ τ' οὐχὶ δέξει δὴ τὰ καταχύσματα, καὶ Δημοσθένης ἐν τῷ κατὰ Στεφάνου ψευδομαρτυριῶν. ἀλλ' αὐτὸς μὲν οὐκ ὤκνησε τὴν δέποιναν ἀμγήμαι. ἢ τὰ καταχύσματα αὐτοῦ κατέχυνε τότε, ἡνίκα ἐωνήθη.

Κάδος καὶ καδίσκος διαφέρει. κάδος μὲν λέγεται ᾧ ἐκ τοῦ φρέατος ἀνιμῶσι τὸ ὕδωρ. καδίσκος δὲ ἀγγεῖον εἰς ὃ τὰς ψήφους ἐμβάλλουσι.

Καθάρσια καὶ καθάρματα διαφέρει. καθάρσια μὲν γὰρ λέγονται τὰ ἱερά, καὶ τὰ ἄλλα οἷς καθαίρονται. καθάρματα δὲ τὰ μετὰ τὸ καθαρθῆναι ἀποῤῥιπτούμενα.

Καθαρίζειν καὶ τορθορίζειν διαφέρει. καθαρίζειν μὲν γὰρ λέγουσιν οἱ ἀττικοὶ τὸ τρέμειν. τορθορίζειν δὲ τὸ ψυθυρίζειν καὶ γογγύζειν.

Καιρὸς καὶ χρόνος διαφέρει. καιρὸς μὲν γάρ ἐστι μέρος χρόνου, οἷον μεμετρημένων ἡμερῶν σύνημα. χρόνος δὲ πολλῶν καιρῶν περιοχὴ καὶ σύμπλοκις. Ἄλλως ὁ μὲν καιρὸς δηλοῖ ποιότητα χρόνου, οἷον ὅτε πόλεμος ἦν. χρόνος δὲ ποσότητα, οἷον πρὸ δέκα χρόνων, ἢ μετὰ δέκα ἔτη.

Κάλλαια καὶ κάλλη διαφέρει. κάλλαια μὲν γὰρ οἱ τῶν ἀλεκτριόνων πώγωνες. κάλλη δὲ τὰ ἄνθη τῶν βαμμάτων.

Κάθισμα τοῦ κάθισμα διαφέρει. κάθισμα μὲν γὰρ ἐροῦμεν αὐτῷ ἅμα περὶ ἑαυτοῦ κελεύοντες. κάθισμα δὲ περὶ ἑτέρου κάθισμα αὐτόν.

Κακὸς πονηρὸς διαφέρει, ὡς περὶ ὁ ἄκακος, τοῦ ἀγαθοῦ. κακὸς μὲν γὰρ ὁ πανοῦργος. πονηρὸς δὲ ὁ δρασικὸς κακοῦ.

Κακοήθεια μὲν ἐστι κακία κεκρυμμένη. κακοτροπία δὲ ποικίλη καὶ παντοδαπὴς πανουργία.

Κέλης καὶ ἐπακτροκέλης διαφέρει. κέλης μὲν γάρ ἐστι πεδάλιόντι μικρόν. ἐπακτροκέλης δὲ κακοῦργον, καὶ λησταρικὸν σκάφος μεταξὺ ἐπακτρίδος καὶ κέλητος. ἀφίνης ἐν τῷ κατὰ Ἡμάρχου. ἀλλ' αἱ προπετεῖς τοῦ σώματος ἡδοναὶ καὶ ἃ μὴ δεῖν ἱκανὸν εἶναι ταῦτα πληροῦ τὰ λῃστήρια. ταῦτα εἰς τὴν ἐκπακτροκέλητα ἐμβιβάζει. ἐπακτῆρες δὲ κωμῳδεῖται καλοῦνται.

Κέλυφος κελύφανον καὶ ἔλυτρον διαφέρει. κέλυφος μὲν γὰρ λέγεται ἐπὶ τῶν ὀστρακοδέρμων. οἷον τῶν κογχυλίων. κελύφανον δὲ ἐπὶ τῶν τραγημάτων, καὶ ὀπωρίων. ἔλυτρον δὲ τοῦ ἰγνὸν χώρημα.

Κέδρος θυλυκῶς μὲν τὸ δένδρον. ἀρσενικῶς δὲ ὁ καρπός, ἀλλὰ θύε τοὺς κέδρους.

Κηρύξαι ἀποκηρύξαι καὶ ἐπικηρύξαι διαφέρει. κηρύξαι μὲν γὰρ καὶ ἀποκηρύξαι λέγουσιν ἐπὶ τοῦ ὑπὸ κήρυκα ἀποδίδοσθαί τι. Μένανδρος ἀπεκήρυξεν αὐτὴν ἀγαγών. οἷον ὑπὸ κήρυκι ἐπώλησεν. ἐπικηρύξαι δὲ τὸ ὑποχέσθαι χρήματα δώσειν τοῦ συλλαβόντι καὶ ἀνάγοντι, καὶ ἀποκτείναντα

ἀποκτείναντί ἕνα τῶν δικαθέντων.

Κιβωτὸς καὶ κίστη διαφέρει. κιβωτὸς μὲν γάρ ἐστιν ἡ ξυλίνη. διὸ καὶ ἀντίστηξ καλεῖται. κίστη δὲ ἡ πλεκτή.

Κίνησις περιφορᾶς διαφέρει. κίνησις μὲν γάρ ἐστι κυρίως ἡ ἐκ τόπου εἰς τόπον μετάβασις. περιφορὰ δέ, ἡ περὶ τὸν αὐτὸν τόπον στροφή.

Κίθαρις καὶ κιθάρα διαφέρει. φησὶν Ἀριστόξενος ἐν τῷ περὶ ὀργάνου. κίθαρις γάρ ἐστιν ἡ λύρα, οἱ δὲ χρώμενοι αὐτῇ κιθαρισταί. οὓς ἡμεῖς λυρῳδοὺς φαμέν. κιθάρα δὲ ἣ χρῆται ὁ κιθαρῳδός. ἀναξίνης ἐν τῷ ΚΗ ἡμάρχου διατέθεια, καὶ φησίν. οὕτω περὶ αὐτῷ εἶχε κιθαρισὰς ὁ κιθαρῳδός. κιθαριστὴς μέν ἐστιν ὁ μόνον ψάλλων. κιθαρῳδὸς δὲ ὁ καὶ ᾄδων.

Κλῆσις καὶ πρόκλησις διαφέρει. κλῆσις μὲν γάρ ἐστιν ἡ εἰς ὁτιοῦν τῶν δικαστηρίων γινομένη. πρόκλησις δὲ ἡ εἰς ἄεθλον πάτον.

Κλῆμα κλίματος διαφέρει. κλῆμα μὲν γάρ ἐστιν εἶδος ἀμπέλου. κλίμα δὲ μέρος τι τοῦ κόσμου.

Κλύσαι μὲν λέγεται ποτήριον ἢ ἀγγεῖον. νίψαι δὲ πρόσωπον καὶ πόδα. πλύναι δ' ἐσθῆτα.

Κόρδαξ καὶ κάρδαξ διαφέρει. κόρδαξ μὲν γάρ ἐστιν εἶδος ὀρχήσεως. κάρδαξ δέτις ἐκαλεῖτο στρατιώτης. βάρβαρος δὲ ἡ λέξις. καλεῖται δὲ ἡ μὲν στρατιωτικὴ ὄρχησις ἐμμέλεια. οἰκινὶς δὲ ἡ σατυρική. κάρδαξ δὲ ἡ κωμική.

Κομιδῆ καὶ κομιδὴ διαφέρει. κομιδῆ γὰρ περιττωμένως ἐπίρρημα, καὶ σημαίνει τὸ παντελῶς. κομιδὴ ὀξυτόνως ὄνομα, οἷον οὐσφῶν κομιδή. λέγεται δὲ ἡ ἀπόληψις ἕνος κομιδὴ παρὰ τὸ κομίσασθαι καὶ ἀπολαβεῖν.

Κόπτει καὶ ψοφεῖ διαφέρει. κόπτει μὲν γὰρ τὴν θύραν, ὁ ἔξωθεν. ψοφεῖ δὲ ὁ ἔσωθεν ἀξιῶν.

Κομᾶν καὶ κουρᾶν διαφέρει. κομᾶν μὲν γάρ ἐστι τὸ ἐπίλινος σεμνύνεσθαι τῶν καλῶς πεπραγμένων. καὶ στέφειν τὴν κόμην. κουρᾶν δὲ τὸ κουρᾶς ἐπιθεῖναι καὶ τὴν κόμην καθικέναι.

Κόρυθος καὶ κορύθαλος διαφέρει. κόρυθος μὲν γὰρ τὸ ὄρνεον, λέγεται δὲ γῆς ἱερόν. κορύθαλος δὲ θῆμος ἀθήνησιν, ἐν ᾧ σωτῆρος κούρης ἱερόν.

Κόνις καὶ κονὶς διαφέρει. τὸ μὲν λεπτότατον τῆς γῆς κονὶς ὀξύνεται. τὸ δὲ ἐπὶ τῆς κεφαλῆς γινόμενον φθειρῶδες, βαρύνεται.

Κόσμος οἰκουμένης διαφέρει. τὸ μὲν περιέχει οἰκουμένην καὶ ἄστρα. τὸ δὲ γῆν μόνον τὴν φανεράν.

Κτήματα καὶ ἐπικτήματα διαφέρει. κτήματα μὲν γάρ ἐστι τὰ ἐν τῇ οἰκίᾳ. ἐπικτήματα δὲ τὰ ἐν ἀλλοτρίᾳ.

Κτῆσις μέν ἐστι πᾶσα ἡ οὐσία. κτῆμα δ' ἕνα.

Κραπάλη καὶ μέθη διαφέρει. κραπάλη μὲν γάρ ἐστιν ἡ χθεσινὴ μέθη. μέθη δὲ ἡ τῆς αὐτῆς ἡμέρας γινομένη οἴνωσις.

Κύπτειν καὶ κυπτάζειν διαφέρει. κύπτειν μὲν γάρ ἐστι τὸ ἐπικάμπτεσθαι τοῦ σώματι. κυπτάζειν δέ ἐστι τὸ στραγγεύεσθαι, ἀριστοφάνης ἐν νεφέλαις. χώρει τί κυπτάζεις ἔχων περὶ τὴν θύραν.

Κυβεύειν καὶ πεσσεύειν διαφέρει. κυβεύειν γάρ ἐστι τὸ διὰ ψήφων ἢ ἀστραγάλων παίζειν. πεσσεύειν δὲ τὸ διὰ ψήφων.

Κρίνειν τοῦ διακρίνειν διαφέρει. κρίνειν μὲν γὰρ τὸ κυρίως δοκιμάζειν. διακρίνειν δὲ τὸ πράγμα πράγματος διϊσᾶν καὶ χωρίζειν.

Κύειν καὶ τίκτειν διαφέρει. κύειν μὲν τὸ ἔγκυον εἶναι. τίκτειν δὲ τὸ ἀπαλλάττεσθαι τοῦ κύειν. εὐριπίδης ἐναντίον ἡ κύουσα τίκτω εἶπεν ἡνίκ' ἠγόμην πάλιν.

Κύριος καὶ δεσπότης διαφέρει. κύριος μὲν γὰρ καὶ γυναικὸς ὁ ἀνήρ, καὶ τῶν ὑῶν ὁ πατήρ. δεσπότης δ' ἀγυρωνήτων τινῶν ἄλλων.

Κωφὸς καὶ ἐννεὸς ὁ αὐτὸς παρὰ τοῖς παλαιοῖς ἐλέγετο ὁ μὴ φθεγγόμενος. Ὅμηρος κύμαλ κωφῷ δ' μὴ ἀποπλοῦντι ἔοικον. καὶ ἡσυχία, καὶ κωφὸν ξυνίημι καὶ οὐ λαλέοντος ἀκούω. παραλήλως ἔταξε. νῦν δὲ κωφὸς ὁ βεβλαμμένος τὴν ἀκοὴν λέγεται.

Κωμῳδὸς καὶ τραγῳδὸς λέγεται ὁ χορευτής, καὶ ὑποκριτής. κωμῳδοποιὸς δὲ καὶ τραγῳδοποιὸς οἱ ποιηταί. ἐνίοτε δὲ συγχέουσι τὴν διαφορά.

Λαγχάνειν καὶ κληρώσασθαι διαφέρει. λαγχάνειν μὲν εἰς, οὗ ἂν ὁ κλῆρος ἔλθῃ. Ὅμηρος, κλήρῳ νεῶν τοῖς πάλαχθε δι μαπερὰς ὤρκε λάχησι. κληροῦντι δὲ οἱ κα θιέντες εἰς τὸν κλήρον, καὶ λαγχάνειν μὲν ὅτι τὸ ἐκ τῶν κληρουμένων τοῦ προκειμένου τυχεῖν. κληρώσασθαι δὲ τῷ κλήρῳ χρήσασθαι.

Λαλεῖν καὶ λέγειν, καὶ διαλέγεσθαι διαφέρει. λέγειν μὲν τεταγμένως προφέρεσθαι τὸν λόγον. λαλεῖν δὲ τὸ ἀτάκτως ἐκφέρειν τὰ ὑποπίπτοντα ῥήματα. διαλέγεσθαι δὲ τὸ ἀμείβεσθαι, καὶ λόγον ἀντὶ λόγου παραδιδόναι πρὸς τὸν ἀνταλέγοντα. πλάτων ἐν σοφιστῇ οἱ δ' ἄλλοι φιλόσοφοι διαιροῦσιν οὕτως. λαλεῖν μὲν ἀτάκτως ἐκφέροντας ὃν περοῦν λόγον. διαλέγεσθαι δὲ καὶ λέγειν τοὺς μετ' ἐπιμελείας λέγοντας. διαφορᾶν δὲ τῶν δύο τόπων λέγουσι, καὶ τὸ μὲν διεξιέναι λόγον σωαίρεντες, λέγειν φασ. διαλέγεσθαι δὲ δ' ἀμειβόμενον τοὺς λόγους κατ' ἐρώτησιν καὶ ἀπόκρισιν ποιεῖσθαι.

Λαβεῖν καὶ δέξασθαι διαφέρει. λαβεῖν μὲν γὰρ ὅτι τὸ κείμενόν τι ἀνελέσθαι. δέξασθαι δὲ τὸ διδόμενον ἐκχειρός.

Λέπας καὶ λεπὰς διαφέρει. λέπας μὲν γὰρ βαρυτόνως ὅτι ὄρους ἀπόσπασμα. λεπὰς δὲ ὀξυτόνως ἐν ταῖς πέτραις γινόμενόν τι ὄστρεον.

Λέμβοι καὶ λέμφοι διαφέρει. λέμβος μὲν γὰρ ὅτι πλοιαρίου εἶδος. λέμφος δὲ παρὰ ἀττικοῖς οἱ κορυζώδεις ἐλέγοντο καὶ μυξώδεις. μένανδρος ὑπερβολιμαίοις γέρων ἀμέμικτ' ἄθλιος λέμφος.

Λέχος καὶ εὐνὴ διαφέρει. λέχος μὲν γὰρ ὅτιν ἡ κλίνη. εὐνὴ δὲ ἡ ἐπὶ ταύτης στρωμνή. φησὶ γοῦν πινέων. ἔνθα δ' οἱ ἐκθεῖσα πυκνὸν λέχος ἐμβάλετ' εὐνήν, δέμνια καὶ χλαίνας.

Λεῖαν καὶ λίαν διαφέρει. λεῖα μὲν γὰρ διὰ διφθόγγου σημαίνει τὴν ἐπέλασιν τῶν τραπέζων. λίαν δ' ἐκπεδίου σωελάσαμεν. Διὰ δὲ τοῦ ι, ἐπίρρημα δηλοῖ ἐπιτάσεως. ἔαυτε ἐκτείνηται, ἔαυτε συσέλλητο.

Λῆμα καὶ λῆμμα διαφέρει. λῆμα μὲν γὰρ ὅτι δι' ἑνὸς μ. τὸ παράσημα τῆς τύχης. λῆμμα δὲ διὰ δύο μμ, τὸ λαμβανόμενον.

Λειτουργεῖν διὰ τοῦ ν, καὶ λιτουργεῖν διὰ τοῦ ι διαφέρει. φησὶ Δίδυμος ἐν ὑπομνήματι δευτέρας ἰλιάδος. τὸ μὲν γὰρ λειτουργεῖν, τὸ τοῦ δήμου ὑπηρετεῖν. λεῖτον γάρ φασι τὸ δημόσιον. λεῖτον ἀμφιπένομτο, τὸ δὲ λιτουργεῖν κακὰ λέγειν.

Λίβανος καὶ λιβανωτὸς διαφέρει. λίβανος μὲν γὰρ κοινῶς καὶ τὸ δένδρον καὶ τὸ θυμιώμενον. λιβανωτὸς δὲ μόνον, τὸ θυμιώμενον.

Λογογράφος καὶ λογοποιὸς διαφέρει. λογογράφος μὲν γάρ ὅτιν, ὁ τοὺς δικανικοὺς λόγους γράφων. λογοποιὸς δὲ ὁ λόγους τινὰς καὶ μύθους συντιθείς.

Λόγος ποιήσεως διαφέρει. λόγος μὲν γάρ ὅτιν ἡ δίχα μέτρου σύνταξις. ποίησις δὲ ἡ σύνθεσις ἡ μέτρῳ κοσμουμένη.

Λυχνοῦχον καὶ λαμπήνα φασὶ τὸν νοῦν. φανὸν δὲ τὴν λαμπάδα. καὶ οἱ μὲν κωμικοὶ διὰ τοῦ φ. οἱ δὲ τραγικοὶ διὰ τοῦ π, πανός. λυχνεῖον δὲ ἐκάλουν τὴν λυχνείαν.

Λυχνίον λύχνου διαφέρει. λυχνίον μὲν γάρ ὅτιν λυχνία ὡς Ἀνδραφάνης φησὶν ἐν ἀφροδίτης γονάσι. λύχνος δὲ ὁ φανός. μένανδρος ἐνομοθέταις ἑτέρου λυχνοῦχος, ἑσέρου λήκυθος.

Μαχαιρα καὶ μαχαιρὶς διαφέρει, μάχαιραν μὲν γὰρ ὁμοίως ἡμῖν λέγουσιν οἱ ἀττικοί. μαχαιρίδας δὲ τὰς τῶν κουρέων.

Μακρολόγος καὶ πολυλόγος διαφέρει. μακρολόγος μὲν γάρ ὅτιν ὁ περὶ ὀλίγ' πολλὰ λέγων. πολυλόγος δὲ ὁ περὶ πολλῶν πολλὰ λέγων.

Μαθὸς μαζὸς διαφέρει. μαθὸς μὲν γάρ ὅτιν ὁ γυναικεῖος. κυρίως δὲ τὸ οἷον μεσὸς εἶναι γάλακτος. μαζὸς δὲ ὁ ἀνδρεῖος ὡς καὶ ὁ ποιητής φησι. νόνρα μὲν μαζῶ πέλασε τόξῳ δὲ σίδηρον.

Μάρτυς ἐλέγχου διαφέρει. μάρτυς μὲν γὰρ ἐὼ ἀγαθὸν λαμβάνεται. ἔλεγχος δὲ ἐπὶ φαύλου.

Μάχη καὶ πόλεμος διαφέρει. μάχη μὲν γάρ ὅτιν ἡ ἐν πολέμοις ἐνέργεια. πόλεμος δὲ ἡ χρόνος καὶ ἡ πρὸς τὴν μάχην παρασκευή.

Μαρτυρία καὶ ἐκμαρτυρία διαφέρει. μαρτυρία

πυρίαν μὲν γάρ ὅστιν ἡ τῶν ἐπιδημούντων ἐκμαρτυρία δὲ ἡ τῶν ἀπόδημούντων. ὡς διασαφεῖ Δείνιαρχος ὑπὲρ Κλεομένους τοῦ Θ᾽ αἰκίας λέγων. πολλὰ κἀγαθὰ ὦ ἄνδρες δικασταὶ γεγένοιτο ὑμῖν, καὶ τοῦ νομοθέτου κελεύσαντος ἐξεῖναι τῶν ἀποδημούντων ἐκμαρτυρίας παρέχεσθαι.

Μάγον τόνδε φαρμακὸν, ὡς Αἰσχίνης ἐν τοῖς κατὰ Κτησιφῶντος καὶ περὶ τοῦ θεωρικοῦ, ὡς Ἡρόδοτος.

Μανία μὲν ὅστιν ἔκστασις λογισμοῦ. λύσσα δὲ ἐπίτασις μανίας. οἶστρος δὲ μανιώδης ἐπιθυμία.

Μαντικὴ μὲν ὅστιν ἡ τέχνη. μαντεία δὲ ὁ χρησμός.

Μέτοικος καὶ ἰσοτελὴς διαφέρει. μέτοικος μὲν γάρ ὅστιν ὁ ὑποφόρος. ἰσοτελὴς δὲ ὁ μὴ τελῶν ἢ ἄρχων.

Μεταβάλλεσθαι, καὶ μεταμορφοῦσθαι, καὶ ἀλλαττεσθαι, καὶ ἑτεροιοῦσθαι διαφέρει. μεταβάλλεσθαι μὲν γάρ ὅστι πάθος κοινόν. καὶ γὰρ καιρῶν γίνονται, καὶ πράξεων, καὶ ἀφροδισίων. ὁ γοῦν εὐριπίδης ἐν ὀρέστῃ παρισῶν τὴν δύναμιν τῆς λέξεως φησί. μεταβολὴ πάντων γλυκύ. μεταμορφοῦσθαι δὲ, μεταχαρακτερισμός, καὶ μετατύπωσις σώματος, εἰς ἕτερον χαρακτῆρα. ἀλλοίωσις δὲ οὐμόνον μεταχαρακτερισμὸς χαρακτῆρος. ὡς δ᾽ ἀλλοῖος μοιξεῖν ἐφάνης ἢ πάροιθ᾽, ἀλλὰ καὶ τῆς προτέρας ὑπολήψεως ποίησις ἑτέρας. ἑτεροίωσις δ᾽ ὅταν ἀφ᾽ ἑτέρου σώματος εἰς ἕτερον μεταβάλῃ, οἷον νιόβη εἰς λίθον.

Μείραξ, καὶ μειράκιον, καὶ μειρακίσκος διαφέρει. μειράκιον γὰρ καὶ μειρακίσκος ὁ ἄρσην. μείραξ δὲ ἡ θήλεια.

Μετρεῖσθαι, καὶ ἴσασθαι διαφέρει. μετρεῖσθαι μὲν γὰρ ἔλεγον οἱ παλαιοὶ μέτρῳ λαμβάνειν πυρόν. ἤτοι τοῦτον ἐν δάνει, ἵνα ἀποδῶ. ἡ σίδηρον, εὖμαν μετρεῖσθαι, εὖδ᾽ ἀποδοῦναι, οὐχὶ ἀργύριον ἢ χρύσιον, οὐδέπω γὰρ ἐπὶ νομίσματα. ἴσασθαι δὲ Ὅμηρος δείδω μὴ τὸ χθιζὸν ὑποσήσονται ἀχαιοὶ χρεῖος. οἷον τὸ χρυόμαυον αὐτῆς ἐλάττωμα ἐν τῷ μάχεσθαι, ἀντὶ χρεολυτήσωσι, καὶ ἀνλυσήσωσιν. ὥς περ εἰ ὀφειλόμενον Δάνος. χρήσαιτο δ᾽ ἔλεγον ἱμάτιον ἢ σκεῦος.

Μέμφεσθαι, ἐγκαλεῖν, καὶ ψέγειν διαφέρει. μέμψις μὲν ὅστιν ἀμελοῦντος κατηγορία. ψόγος δ᾽ ἐπονείδιστος.

Μινυρίζειν, καὶ μινύρεσθαι διαφέρει. μινυρίζειν μὲν γάρ ὅστι τὸ ἠρέμα προσᾴδειν. μινύρεσθαι δὲ τὸ θρηνεῖν. τὸ δ᾽ αὐτὸ καὶ κινύρεσθαί φασιν.

Μισητὴ, καὶ μισήτη διαφέρει. παρὰ τοῖς ἀττικοῖς ὡς φησι τρύφων ἐν δευτέρῳ περὶ ἀττικῆς προσῳδίας. ἐὰν μὲν γὰρ ὀξυτονῆσωμεν. σημαίνει τὴν ἀξίαν μίσους. καθὰ καὶ ἡμεῖς ἐν τῇ σωκρατείᾳ προφερόμεθα. ἐὰν δὲ βαρυτονήσωμεν τὴν κατὰ φερῆ πρὸς σωουσίαν. τὴν δὲ διαφορὰν τῶν σημαινομένων καὶ παρὰ δωριεῦσί φασι φυλάττεσθαι καὶ παρ᾽ ἴωσι.

Μισθὸς μισθώματος διαφέρει. μισθὸς μὲν ὅστιν ὁ δίκαιος μισθός. μίσθωμα δὲ τὸ ἐπονείδιστον.

Μνήμη, καὶ μνεία διαφέρει. εἴτι μὲν γὰρ μνήμη, τοῦτο οὐ πάντως καὶ μνεία, εἴτι δὲ μνεία τοῦτο εὐθέως καὶ μνήμη. ἔστι δὲ μνήμη γνωστικὴ τύπωσις ψυχῆς. μνεία δὲ λόγος κατὰ ἀναπέωσιν λεγόμενος ὁ μὴ γὰρ μιμνησκόμενος οὐ πάντως καὶ μνήσκεται. ὁ δὲ μεμνημένος πάντως καὶ μνήσκεται. ἄλλως, μνήμη ὅστιν, ἡ τοῦ μνημονικῶς ἀεὶ σωουσα. μνεῖα δὲ προγεγονότος τινὸς ὑπόμνησις. ὥς τε ὁ τούτοις ἐναλλὰξ χρώμενος, ἁμαρτήσεται.

Μνημεῖα, καὶ μνήματα διαφέρει. μνημεῖα μὲν γὰρ ἔλεγον τὰ μνημόσυνα. μνήματα δὲ τοὺς τάφους. μνήμη μὲν γὰρ γίνεται νεκρῶν. μνεῖα δὲ ζώντος.

Μοχθηρός, μοχθήρος, καὶ πόνηρος διαφέρουσι. μοχθηρὸς μὲν γὰρ ὀξυτόνως, ὁ τὰ ἤθη πονηρός. λέγουσι δὲ ἁπλῶς τὰ φαῦλα καὶ μοχθηρὰ, πονηρά, ὡς θουκυδίδης, πονηρὰ τὰ πράγματα τῶν ἀθηναίων. ἀντὶ τοῦ φαῦλα. μοχθήρος δὲ, ὁ ἐπίπονος. ὡς καὶ πόνηρος.

Μύριοι ἐπὶ ἀριθμοῦ. μυρίοι δὲ οἱ πολλοί.

Μῦθος καὶ ἱστορία διαφέρει. ἱστορία μὲν γὰρ γεγονότα πράγματα περιέχει. ὁ δὲ μῦθος διαπεπλασμένα καὶ ψευδῆ. ὁ γοῦν λέγων εὖ πεποίηται ἢ περὶ τὸν κύκλωπα ἱστορία. ἢ ἄλλοτι τοιοῦτον, οὐκ ἄγαν ὀρθοεπεῖ. μᾶλλον γὰρ ἁρμόζει λέγειν,

εὖ πεποίηται περὶ τὴν κύκλωπα μῦθον.

Ναὸς καὶ σηκὸς διαφέρει. ὁ μὲν γὰρ ναός ὅλη θεῶν σηκός, κρόων.

Ναύκληροι καὶ ναύκραροι διαφέρει. ναύκληροι μὲν γάρ εἰσιν οἱ ναῦς κεκτημένοι. ναύκραροι δὲ οἱ εἰς πραγματόμενοι τὰ δημόσια κτήματα. καὶ ναυκράρια οἱ τόποι ἐν οἷς ἀνέκειντο τὰ κτήματα. ἐλέγοντο δὲ ἡμοίως ναύκληροι καὶ οἱ μισθωτοὶ τῶν σωοικιῶν.

Ναυαγία μὲν ἐστιν αὐτὴ ἡ τῆς νεὼς διαφθορά. ναυάγιον δὲ, τὸ δηλαυτῆς ἐκβραδέν.

Νεαρὸν νεαλὲς καὶ προσφάτου διαφέρει. νεαρὸν μὴ γάρ ἐστι τὸ νεωστὶ κομισθὲν ὕδωρ. ἔγκειται γὰρ τῇ λέξει τὸ ἀρτίως. προσέθετο δὲ τὸ κρέας. ἔγκειται γὰρ ἀπὸ τοῦ φάσαι ὅ ἐστι τὸ φονεῦσαι. ὅθεν καὶ τὸ φάσγανον. νεαλὲς δὲ τὸ νεωστὶ ἁλωκός, οἷον ἰχθῦς. δύναται δὲ νεωστὶ ἁλὶ πεπασμένον.

Νυμφίδες, τῶν τῆς νυμφίου θυγατέρων διαφέρει. Δίδυμος ὁμοίως ἐν ὑπομνήματι βασιλίδου ἐπινίκων· φησὶ γὰρ καὶ λέξιν. εἰσὶ τοίνυν οἵφασι διαφέρειν τὰς νυμφίδας τῶν τῆς νύμφης θυγατέρων. καὶ τὰς μὲν ἐκδωρίδος γνησίας αὐτοῦ θυγατέρας νομίζεσθαι. τὰς δὲ δι' ἄλλον ἤδη κοινότερον, νυμφίδας καλεῖσθαι, καὶ τὰς μὴ γνησίας, καὶ τὸν ἀριθμόν. πλείους δὲ τὰς ἄλλας. ταῦτα φησὶ Μνασέων ἐν τοῖς περὶ τῆς εὐρώπης τὴν τρόπον τοῦτον. εἶτα ἐκτίθεται διὰ μακρῶν τὴν λέξιν. καὶ ἐπιφέρει πιθανῶς τοὺς μὲν ἐκμιᾶς τῆς δωρίδος γνησιωτέρας τῶν ἄλλων οὔσας, νυμφίας θυγατέρας λέγεσθαι. τὰς δὲ συμμίκτους αὐτῶν, μόνον νυμφίδας.

Νῆες πλοίων διαφέρει. Δίδυμος ἐν δεκάτῳ ἐκφρικῆς ὑπομνημάτων φησὶν οὕτως· ὅτι διαφέρουσιν αἱ νῆες τῶν πλοίων. τὰ μὲν γάρ ἐστι στρογγύλα. αἱ δὲ κωπήρεις καὶ στρατιότιδες. Ἀριστέλης δὲ ἰσοῦσθαι. ἐν δικαιώμασι τῶν πολέμων οὕτως· Ἀλέξανδρος ὁμολογεῖ ὑπὲρ ταυτὸν χρόνον ταραντίνῳ αὐτῷ μεταμεμφομένων ἐπὶ τὴν πρὸς τοὺς βαρβάρους πόλεμον, δι' ἐπλεύσε ναυσὶ μὴ πεντεκαίδεκας. πλοίοις δὲ συχνοῖς ἱππαγωγοῖς, καὶ στρατηγικοῖς.

Νοῦς μὲν ἐστιν ἀπόκρυφος λογισμός φρένες δὲ αἱ ἀγαθαὶ διάνοιαι.

Νῶν καὶ ναυσὶ διαφέρει. φησὶ κατά τινας Ἡρακλείδης ἐν πρώτῃ περὶ καθολικῆς προσῳδίας. τὸ μὲν γὰρ νῶν χρονικὸν ἐπίρρημα, τάσει τῇ ἐπὶ τῶν τριῶν χρόνων. ἐνεστῶτος, παρωχημένου, καὶ μέλλοντος. οἷον νῦν ἀγὼν νῶν ἐστι, νῶν ἔσται. ὁ δὲ ναυσὶ ἐπὶ μόνου ἑνὸς σώτος.

Νωθέστερος μὲν ὁ ἑλκώδης. νωχελέστερος δὲ ὁ ἀσθενέστερος.

Ξόανον, βρέτας, ἄγαλμα διαφέρει. ξόανον μὴ γάρ ἐστι τὸ ἐξεσμένον λίθινον, ἢ ἐλεφάντινον. βρέτας δὲ τοῦ βροτῶν ὅμοιον. ἤτοι χαλκοῦν. ἢ ἐκ τῆς ἐμφερεῖς ὕλης πεποιημένον. ἄγαλμα δὲ τὸ πώρινον. ἢ ἐκλεῖ ἑτέρου λίθου καπεσκευασμένον.

Ξενίζειν μὲν, οὐμόνον τὸ καταδέχεσθαι ξένους. ἀλλὰ καὶ τὸ ξένως διαλέγεσθαι. ὡς Δημοσθένης ἐν τοῖς πρὸς βοιωτούς.

Ξυσὸς τό τε ἀκόνιον ὡς παρ' ἡσιόδῳ ἐν τῷ πρώτῳ καὶ τὸ οἰκοδόμημα ὡς παρὰ Ξενοφῶντι ἐν οἰκονομικῷ.

Ὀβελὸς ὀβολὸς διαφέρει. ὀβελὸς μὲν γάρ ἐστιν εἰς ἃ διαπείρωντι τὰ κρέα μέλλοντα ὀπτᾶσθαι. ὀβολὸς δὲ, μέρος δραχμῆς.

Ὀδὲ καὶ ὀδὶ διαφέρει. ὀδὲ μὲν γὰρ ἀναφορικῶς ἐν δεικτικῷ. ὀδὶ δὲ δεικτικῶς μόνον κατ' ἐπέκτασιν.

Οἰκῆας καὶ οἰκείους διαφέρειν φασὶν. οἰκῆοι μὲν γάρ καὶ οἱ κατ' ἐπιγαμίαν προσήκοντες. οἰκῆες δ' ἅπαντες, ἐν οἱ ἐν τῇ οἰκίᾳ τυγχάνοντες τῇ αὐτῇ, εἴτε οἰκέται, εἴτε ἐλεύθεροι, φησὶ γοῦν ἔκτως ὀφρ' ἴδωμεν οἰκῆας, ἄλοχόν τε φίλην, καὶ νήπιον υἱόν, καὶ δι' ὕπνου γοόωσα φίλους οἰκῆας ἐχείρει, καὶ ἐν ὀδυσσείᾳ. κήδετο οἰκήων οὓς κτήσατο δῖος ὀδυσσεύς.

Οἰκίζειν καὶ συνοικίζεται διαφέρει. οἰκίζεται μὲν γὰρ πόλις ὑπὲρ τῆς πρώτης τῶν συνοικιστόρων ἀθροίσεως, ἐν καθιδρύσεως. συνοικίζεται δὲ ἡ ἐκ πολλῶν πόλεων εἰς μίαν πόλιν συναγομένη ὑπὲρ τὴν πλείονα δύναμιν χάριν. διοικίζειν δὲ ἡ ἐκμιᾶς πόλεως μεγέθη ἰσχυούσης εἰς πολλὰ καταδιαιρουμένη ὑπὸ τῶν ἐχθρῶν ἵνα ἀσθενὴς γένηται. ὡς οἱ λακεδαιμόνιοι τὴν ἐν ἀρκαδίᾳ μεγάλην πόλιν διώκησαν.

Οἰκότριβ καὶ οἰκέτης διαφέρει. οἰκότριβ μὲν γὰρ, ὁ ἐν τῇ οἰκίᾳ διατρεφόμενος ὃν ἡμεῖς θρεπτὸν καλοῦμεν. οἰκέτης δ' ὁ δοῦλος

δοῦλος ὁ ὠνητός. παρὰ δὲ Σόλωνι ἐν τοῖς ἄξοσιν οἰκεὺς κέκληται ὁ οἰκότριβ.

Οἶμος οἴμης διαφέρει. οἶμος μὲν γάρ ἐστιν ἀρσενικῶς ἡ ὁδός. οἴμη δὲ ἡ ᾠδή.

Οἶκτος Ⓒ οἰκτισμός διαφέρει. οἶκτος μὲν γάρ ἐστιν οἰκτιζομένου ἔλεος. οἰκτισμὸς δὲ ὁ λόγος τοῦ οἰκτείροντος.

Οἴνη καὶ οἰνάνθη διαφέρει. οἴνη μὲν γὰρ ἡ ἄμπελος. οἰνάνθη δὲ ἡ πρώτη τῶν βοτρύων ἐξάνθησις. οἰνάρια δὲ τὰ φύλλα.

Οἴκαδε τοῦ εἰς οἶκον διαφέρει. οἴκαδε μὲν γὰρ τὸ οἴς τῶν ἰδίων οἰκίαν βαδίζειν. εἰς οἶκον δὲ καὶ ἐφ' ἕτερον.

Οἶκος, οἰκία, σωοικία, οἰκίσκος, καὶ δῶμα διαφέρουσιν. οἶκος μὲν λέγεται ἡ πᾶσα οὐσία. οἰκία δὲ ἡ ὑπὸ ἑνὸς ἢ ὑπὸ δυοῖν κατοικουμένη. σωοικία δὲ ἡ πολλοῖς, καὶ μισθουμένη. οἰκημαδὲ τὸ τέρος ἢ τὸ δεσμωτήριον. οἰκίσκος τὸ μικρὸν δωμάτιον, δῶμα δὲ ὁ λεγόμενος κοιτών.

Ὄλβιος καὶ εὐτυχὴς διαφέρει. ὄλβιος μὲν γάρ ἐστιν ὁ πλείαν τῶν εὐδαιμονίαν ἔχων. εὐτυχὴς δὲ ὁ ζῶν ἡδέως καὶ ἀλύπως.

Ὀλίγον καὶ μικρὸν διαφέρει. τὸ μὲν γὰρ ὀλίγον, ἐπὶ ἀριθμοῦ. τὸ δὲ μικρόν, ἐπὶ μεγέθους τάσσεται. ἀριστόνικος ἐν ὑπομνήματι ἐκάλεσε ἐπὶ στοιχείου, ὀλίγην νησίδα καλυψοῦς. φασὶ δὲ οὕτω. ὀλίγην μακράν. ὑπαλλακτικῶς. τὸ μὲν γοῦν ὀλίγον ἐπὶ ἀριθμοῦ, τὸ δὲ μικρὸν ἐπὶ μεγέθους τάσσεται. καὶ ὅμηρος. δίφρον ἀεικέλιον παραθεὶς ὀλίγῳ τε τράπεζαν τῶν μικράν.

Ὅλμος καὶ ὅρμος διαφέρει. ὅλμος μὲν γάρ ἐστι μυστικὸν σκεῦος, εἰς ὃ κόπτουσι τὰ εἴδη τὰ μυστικά. ὅρμος δέ ἐστι λιμήν.

Ὄρθρος μὲν γὰρ ἡ πρὸ ἀνατολῆς ἡλίου ὥρα καθ' ἣν ἀνασάντες τῆς ὕπνου ὀρθροῖ γινόμεθα. πρωὶ δὲ ἡ πρὸ τοῦ καθήκοντος καιροῦ. ὅμηρος, πρωὶ δὲ ὑπὸ ἠοῖο σὺν τεύχεσι. καὶ ἡσίοδος πελεκῆσαι τινὰ πρωὶ μάλ' ἠίθεον, τουτέστι πρόωρον.

Ὁρᾶν καὶ ὑπεροράν διαφέρει. ὁρᾶν μὲν γάρ ἐστι τὸ θεωρεῖν. ὑπεροράν δὲ τὸ καταφρονεῖν.

Ὀρνιθοῦτης καὶ ὀρνιθοσκόπος διαφέρει. ὀρνιθοῦτης μὲν γάρ ἐστιν ὁ θηρεύων ὄρνιθας. ὀρνιθοσκόπος δὲ ὁ οἰωνοσκόπος.

Ὀροφὴ Ⓒ τέγος διαφέρει. ὀροφὴ μὲν γάρ ἐστιν ἡ στέγη. τέγος δὲ τὸ δῶμα.

Ὅσιον καὶ ἱερὸν διαφέρει. ὅσια μὲν γάρ ἐστι τὰ ἰδιωτικὰ ὧν ἐθίζεται, καὶ ἕξεσι προσάπτεσθαι. ἱερὰ δὲ τὰ τῶν θεῶν, ὧν οὐκ ἕξεσι προσάπτεσθαι. δημοσθένης ἐν τῷ κατὰ τιμοκράτους λέγει. ὡς τιθέασι τοῦτον τὸν νόμον. δι' οὗ τῶν μὲν ἱερῶν χρημάτων τοὺς θεούς. τῶν ὁσίων δὲ τὴν πόλιν ἀπεστερεῖ.

Ὅτι καὶ διότι διαφέρει. τὸ μὲν γὰρ ὅτι, αἰτίαν δηλοῖ. ὁτὲ ἢ βεβαίωσιν. τόδε δὲ διότι αἰτίαν δηλοῖ. αὐτίκα γοῦν ὅτι μὲν ἐκλείπει ἡ σελήνη πάντες ἴσμεν, διότι δὲ οὐκέτι, ἀλλὰ μόνοι οἱ ἔμπειροι.

Οὐκοῦν παροξυτόνως μὴ ἀπφαντικόν, ἴσον τῷ οὐχοῦν. οἷον οὐκοῦν ἀπιστεῖν. περισπωμένως δὲ συλλογιστικός ἐστιν σωδεσμός, καὶ σημαίνει ἀπόφασιν.

Οὐδὲν διὰ τοῦ δ, καὶ οὐθὲν διὰ τοῦ θ διαφέρει. οὐδὲν μὲν γὰρ τὸ ἐν τῷ καθόλου. ὡς φαμὲν οὐδὲν ἐν κόσμῳ κενόν. πᾶσα γὰρ ἡ τοῦ κενοῦ φύσις βασάζεται. οὐθὲν δὲ ἀναλυθὲν εἰς τὸ ἴδιον ἀντίστοιχον, σημαίνει τῶν τοῦ ἑνὸς ἄρσιν, καὶ ἐπιφορὰν ἑτέρας ἀρχῆς οὔθ' ἓν οὔτε δύο. τὸ δὲ διὰ τοῦ δ, ἀπαρτίζει. διὸ καὶ ὁ ποιητής φησιν. οὐδὲν ἀκιδνότερον γαῖα τρέφει ἀνθρώποις. ὁ σοῦ ἐναλλάσσων ἁμαρτάνει. διὸ καὶ ζηνόδοτον εὐθύνουσι γράφοντα. οὐθὲν ἀκιδνότερον.

Οὕνεκα καὶ εἵνεκα διαφέρει. οὕνεκα μὲν σημαίνει τὸ ὅτι εἵνεκα δὲ χάριν. ὅμηρος διαστέλλει οὕνεκα τὸν χρύσην ἠτίμησ' ἀρητῆρα. ἀντὶ τοῦ ὅτι. εἵνεκα ἐριγεδανῆς ἑλένης. ἡμῶν σοῦ ὁ καλλίμαχος εἰπών. εἵνεκεν οὐχὲν ἄλφεσμα ὅπῃ ἄτοπον. ἔστι γὰρ εἰπεῖν οὕνεκα. ἵνα γένηται ὅτι οὐχ ἓν ἄλφεσμα.

Οὗτος Ⓒ οὐτοσὶ διαφέρει. τοῦτος μὲν γὰρ οὐτοσί, δεικτικὸν μόνον. τὸ δὲ οὗτος, δεικτικὸν καὶ ἀναφορικόν. δεικτικὸν μὲν οὗτός τοι Διομήδης. ἀναφορικὸν δὲ οὗτος μὲν πανάριστος, ὃς αὐτῷ πάντα νοήσει. ὁ αὐτὸς λόγος. καὶ ἐπὶ τοῦτον καὶ τοῦτονί.

Οὐλὴ καὶ ὠταλὴ διαφέρει. οὐλὴ μὲν ἐστιν ἡ ὑγιασμένη σὰρξ ἐκπαλαιοῦ τραύματος. ὠταλὴ δὲ τὸ πρόσφατον τραῦμα παρὰ τὸ οὐτᾶσθαι. καὶ ὅμηρος τῶν διαφορὰν πεποίηκεν. ἐπὶ μὲν οὖν οὐλὴν εἰπών. τῶν πο-

τέμιν οὖς ἤλασε λθυκῷ ὀδόντι. ἐπὶ δὲ τῆς ὠτειλῆς αὐτίκα δ' ἔρρεεν αἷμα κατ' οὐταμμένην ὠτειλήν.

Οὖρος καὶ οὐρός διαφέρει. οὖρος μὲν ὁ ἄνεμος. οὐρὸς δὲ ὁ τόπος ἢ τὸ νεώριον. οὐρούς τ' ἐξεκάθαιρον.

Ὄφλιν καὶ ὀφείλειν διαφέρει. ἀπολλωνίδης ὁ νικαεὺς ἐν ὑπομνήματι περὶ παρα πρεσβείας Δημοσθένους. ὄφλημὲν γάρ τίς φησιν ἐπὶ καταδίκη. ὀφείλει δέ τις ὡς ἡμεῖς ἐκδεχόμεθα.

Ὄφλημα καὶ χρέος διαφέρει. ὄφλημα μὲν γὰρ καὶ ὀφείλημα τὸ ἐκκαταδίκης τοῦ δικαστοῦ ὀφειλόμενον. χρέος δὲ τὸ ἰδιωτικὸν δάνειον.

Ὄχθαι καὶ ὄχθοι διαφέρουσι. ὄχθαι μὲν γάρ εἰσι ποταμῶν χείλη. ὄχθοι δὲ ἐπάρματα γῆς.

Ὀψὲ καὶ ἑωθέρα διαφέρει. ἑωθέρα μὲν γάρ ἐστιν ἡ μετὰ τὴν δύσιν τοῦ ἡλίου ὥρα. ὀψὲ δὲ ἡ μετὰ πολὺ δὴ δύσεως. καὶ καθόλου μετὰ πολὺν χρόνον. ὡς ὤμηρος, ὀψὲ δὴ μετέειπε, καὶ ὀψαρότης πρὸ ἀρότης ἰσοφαρίζει. ὀψαρότης γὰρ ὁ μετὰ πολὺ τοῦ προσήκοντος χρόνου ἀροτριῶν.

Παρέχειν καὶ παρέχεσθαι διαφέρει. παρέχειν μὲν γὰρ λέγεται τὰ διὰ χειρὸς διδόμενα. οἷον ἐσθήματα ἢ ἐκπώματα. τὸ δὲ παρέχεσθαι λέγεται ἐπὶ τῆς τῶν ψυχῶν διαθέσεων, οἷον εὐθυμίαν εὔνοιαν, θυμὸν δίδωσι, καὶ πᾶν τὸ πρόθυμον παρεχόμενοι. Δημοσθένης ἐν Φιλιππικοῖς τὴν αὐτὴν παρεχόθα προθυμίαν.

Παρειαὶ καὶ παρῆαι διαφέρουσι. παρειαὶ μὲν γὰρ ὀξυτόνως αἱ τοῦ ἀνθρώπου. παρῆαι δὲ προσῳδιωμένως, ὄφεις ἀνὲς μετέωρα τὰ παρῆα ἔχοντες, ὡς παρείας ὧν ὄφις.

Πάσασθαι βραχέος μὲν ὄντος τοῦ α. τὸ γεύσασθαι δηλοῖ. ἐν ἐκτάσει δὲ τούτου, τὸ κτήσασθαι.

Παραβολὴ καὶ παράδειγμα διαφέρει. παραβολὴ μὲν γάρ ἐστιν, ἡ οἵαπερ χρὴ θαυμάζειν ἐπὶ παραδείγματος, οἷον ὡς δ' ὅτε τίς τε δράκοντα ἰδών. παράδειγμα, γεγονότος πράγματος ἀντιπαράθεσις, οἷνος καὶ κέντρον ἀπώλεσεν.

Πάλτον καὶ πέλτη διαφέρει. πάλτον μὲν γάρ ἐστι τὸ δόρυ. πέλτην δ' ἀσπὶς ἴτυν οὐκ ἔχουσα.

Παρακέκραται καὶ παρακέκρουται διαφέρει. τὸ μὲν γὰρ σαυτῷ δ' σ, ἐνεργητικόν ἐστι καὶ σημαίνει τὸ ἐξηπάτηκε. τὸ δὲ χωρὶς τοῦ σ, παθητικόν, καὶ σημαίνει τὸ ἐξηπάτη.

Παῖς καὶ ἀντίπαις διαφέρει. παῖς μὲν γάρ ἐστιν ὁ ἐν τῇ παιδικῇ ἡλικίᾳ. ἀντίπαις δὲ ὁ ἐκβεβηκὼς τοῦ παιδὸς τὴν ἡλικίαν, καὶ ἤδη πρόσκυρος. βούσαις δ' ὁ μέγας παῖς.

Παιδίσκη καὶ θεράπαινα διαφέρει. παιδίσκη μὲν γάρ ἐστι πᾶσα ἡ τὴν παιδικὴν ἔχουσα ἡλικίαν, ὡς καὶ παιδίσκος. θεράπαινα δὲ ἡ δούλη.

Παίδευσις καὶ παιδεία διαφέρει. ὥς φησι πλάτων ἐν ὅροις. παιδεία μὲν γάρ ἐστι δύναμις θεραπευτικὴ ψυχῆς. παίδευσις δ' παιδείας καὶ ἀρετῆς παράδοσις, καὶ ἐκ παιδὸς ἀρετὴ ἐπὶ ἀρετὴν ὁδηγοῦσα.

Παιδίσκη καὶ παῖς διαφέρει. παιδίσκη μὲν ἡ ἐλευθέρα παρ' ἀττικοῖς. παῖς δὲ ἡ δούλη. μένανδρος ἐν δακτυλίῳ, ἐπὶ τοῦ δ' ἄνδρας οὗτοι κακοδαίμ' ἔφη. ὃς οὐκ ἂν ἐκ δεῖν θυγατέρας μένοι καὶ ταῦτα πεντήκοντα παιδίσκας ἔχων.

Παρθενία καὶ σωφροσύνη διαφέρει, καὶ παρθένος σώφρων. καθὸ ἡ μὲν παρθένος σώφρων ἐστὶ πάντως. ἡ δὲ σώφρων, οὐ πάντως παρθένος.

Πάσχειν καὶ συμπάσχειν διαφέρει. ὡς πάσχων συμπάσχοντος, ὁ μὲν γὰρ πάσχων λυπεῖται μὲν ἐπὶ τοῦ συμπάσχοντος πάθει. οὐ μὴν τοι συμπάσχων ἀλγεῖ, καθάπερ ὁ πάσχων. οἷον πυρέττει τὶς ἢ φίλων σφόδρα, καὶ συμπάσχομεν τοῦτῳ πυρέττοντι. οὐ μὴν τοι καὶ πυρέττομεν.

Πάτρια πατρῴων καὶ πατρικῶν διαφέρει. πατρῷα μὲν γὰρ, τὰ ἐκ πατέρων εἰς ἡμᾶς χωρῶντα. πατρικοὶ δὲ ἢ φίλοι ἢ ξένοι. πατρία δὲ τὰ τῆς πόλεως ἔθη.

Παιδίσκη καὶ παιδισκάριον διαφέρει. παιδίσκην μὲν γὰρ λέγομεν τὴν ἐλευθέραν. παιδισκάριον δὲ τὴν δούλην.

Παῖδα οὐ μόνον τὸν ἡμῖν, ἀλλὰ καὶ τὸν δοῦλον. ὡς Δημοσθένης ἐν τοῖς πρὸς παυσάνεμον.

Πελασγὸς καὶ πενεσγὸς διαφέρει. πελασγὸς μὲν γὰρ ὁ πρόσφυγξ. πενεσγὸς δὲ παρὰ θεσσαλοῖς, ὁ κατὰ πόλεμον δωρηθεὶς, ὡς παρὰ λάκωσιν οἱ εἵλωτες.

Πένης καὶ πτωχὸς διαφέρει. πένης μὲν γὰρ

ὁ πρόσφυγξ. πενεστὴς δὲ παρὰ θεσσαλοῖς ὁ κατὰ πόλεμον δουλωθεὶς ὡς παρὰ λάκωσιν οἱ εἵλωτες.

Πένης καὶ πτωχός διαφέρει. πένης μὲν γὰρ ὁ ἀπὸ τοῦ ἐργάζεσθαι καὶ πονεῖν ποριζόμενος τὸν βίον. πτωχὸς δὲ ὁ ἐπαίτης, ὁ τοῦ ἔχειν ἐκ πεπτωκώς. ἢ ἀπὸ τοῦ πτώσειν πτωχὸν δ' ἀνικρὸν δ' αὐτῶν ἀπολυμαντῆρα, καὶ ἐπιμολογῶν φησίν. ἀλλὰ πτώσειν βούλεται αὐτίζων καὶ δύσμορ. ὀσκῶν ἢν γὰρ ἔναλτρ.

Περιμάξαι καὶ ἐκμάξαι, τὸ τοὺς ὁμιλοῦντας πεφυμάχθαι δι' ἐπῳδῶν καὶ καθαρμῶν, πρὸς ποιεῖσθαι ἀπολύειν.

Περασὴς καὶ πειρατὴς διαφέρει. περασὴς μὲν γὰρ, ὁ περάσας. πειρατὴς δὲ ὁ θαλάσσιος λῃστής, καὶ νῆλ⊖, τὰς διαλυθείσας σανίδας καταλιπόντες τῆς πειρατείας.

Πεῖρα καὶ πεῖρα διαφέρει. πεῖρα μὲν γάρ ἐστιν ἡ ἐπιστήμη τε καὶ ἐμπειρία. πεῖρα δὲ τὸ ἰατρικὸν ἐγχειρίδιον. καὶ δέρμα ἀς τρόφορον. ὃ ἐπὶ τῶν νόμων φέρουσιν οἱ ποιμένες.

Πεδάλιον καὶ πληθρίον διαφέρει. πεδάλιον μὲν γὰρ νεὸς πληθρίον δὲ χεδίας.

Πῆ, καὶ ποῖ, καὶ ποῦ διαφέρει. τὸ μὲν γὰρ πῆ καὶ ποῖ εἰς τόπον, οἷον πῆ ἔβη ἀνδρομάχη. τὸ δὲ ποῦ ἐν τόπῳ, οἷον ποῦ νῦν δεῦρο κιὼν λίπες ἕκτορα, ὡς θ' ἁμῆ πάνουσιν οἱ λέγοντες ποῦ ἀπέρχῃ. δέον εἰ ποῖ ὡῇ ἀπέρχῃ.

Πλεῖν τοῦ ἀποπλεῖν, καὶ παραπλεῖν, καὶ περιπλεῖν διαφέρει. πλεῖν μὲν γάρ ἐστι, τὸ κατ' εὐθὺ πλέειν. ἀπὸπλεῖν δὲ τὸ ἐκ τόπου τινὸς ἀπαίρειν. παραπλεῖν δὲ, τὸ τόπον τινά, διὰ πλοίου διέρχεσθαι. περιπλεῖν δὲ τὸ περὶ σκάφος ἀναστρέφεσθαι περὶ τὸν αὐτὸν τόπον.

Πλούσιος εὔπορος, ἄφνεως, ὀλβίος, καὶ εὐτυχὴς διαφέρει. πλούσιος μὲν γὰρ ὁ πολυούσιος. ὁ πολλὴν ἔχων οὐσίαν. εὔπορος δὲ ὁ πρὸς τὰς ἐπιβαλλούσας τύχας ἀνενδεής. ἄφνεως δὲ ὁ ἀπεριαντοῦ πλοῦτον τροφὴν συλλέγων. ἔνος γὰρ ὁ ἐνιαυτός. ὄλβιος δὲ ὁ τελείαν τὴν εὐδαιμονίαν ἔχων. οἷον ὄλβιος. εὐτυχὴς δὲ ὁ ζῶν ἡδέως καὶ ἀλύπως.

Πλῆμαι καὶ πλῆναι διαφέρουσι. πλῆμαι μὲν γὰρ αἱ πλημμυρίδες τῶν ποταμῶν. πλῆναι δὲ αἱ τῶν τροφῶν σύρραγες.

Πλῆθος καὶ ὄχλος διαφέρει. πλῆθος μὲν γάρ ἐστι σύνημα ἀνῶν. ὄχλος δὲ κυρίως ἡ ὄχλησις.

Πλούσιοι εὔποροι διαφέρουσιν. οἱ μὲν γὰρ πλούσιοι, οὐ πάντως ἐκπρᾶνται. ἀλλὰ ἐκείνων περισάσεως, καὶ ἀπρᾶνται ποτὲ χρημάτων, ἢ ἄλλου τινός. οἱ δὲ εὔποροι κἂν μὴ πλουτῶσιν, ὧν δέονται ἔχουσιν. τινὲς δ' εὐπορίαν μὲν τὸν μέγιστον πλοῦτον ἡγοῦνται. πλοῦτον δ' τὴν μεγάλην εὐπορίαν.

Πολεμικὸς καὶ αἰχμητὴς διαφέρει. πολεμικὸς μὲν γάρ ἐστιν ὁ ἐμπείρως πολεμῶν. αἰχμητὴς δὲ ὁ ἐμπείρως τοῖς κατὰ πόλεμον ὅπλοις χρώμενος.

Πόμα καὶ πῶμα διχῶς λέγουσι. τὸ μὲν ἁπλῶν, διὰ τοῦ ο μικροῦ. ὧν δὲ σωθέντος μόνον διὰ τοῦ ω μεγάλου, οἷον γαλακτοπωτῆν καὶ ὑδροποτῆν.

Πομπὴ καὶ πομπεία διαφέρει. πομπὴ μὲν γὰρ ἦν τοῖς θεοῖς πέμπουσι. πομπεία δὲ ἡ λοιδορία. Δημοσθένης, φησὶ δὲ πομπείας ταύτης, ὕστερον.

Παρρησία καὶ παρουσία διαφέρει. παρρησία μὲν γὰρ, ἡ διὰ λόγων πρὸς ἕνα οἰκείωσις. παρουσία δὲ ἡ ἐπέλευσις.

Πολίτης καὶ πατριώτης διαφέρει. πολίτης μὲν γὰρ ὁ ἐκ τῆς αὐτῆς πόλεως, ἐλεύθερος ἐλευθέρῳ. πατριώτης δὲ ὁ ἐκ τῆς αὐτῆς χώρας, δοῦλος δούλῳ. ἡ γὰρ πατρὶς ⊂ ἐστὶ φησὶ χώρας τάξις. ὡς τοῖσι δ' ἄφαρ πόλεμον γλυκίων γένετ' ἐλθέμεν ἢ ἐλθεῖν ἐς πατρίδος γαῖαν οὐ γὰρ πάντες ἐκ μιᾶς ἦσαν πατρίδος, ἀλλ' ἐκ μιᾶς χώρας.

Πόλις καὶ ἄστυ διαφέρει. πόλις μὲν γὰρ ἡ ὁ τόπος καὶ οἱ κατοικοῦντες ἤγουν τὸ σῶμα ἀμφότερον. ἄστυ δὲ μόνον ὁ τόπος. φράζεο νῦν ὅπως ⊂ πόλιν καὶ ἄστυ σαώσῃς.

Ποιεῖν τοῦ περιποιεῖν διαφέρει. ποιεῖν μὲν γάρ ἐστι τὸ κατασκευάζειν τί. περιποιεῖν δὲ τὸ περικτᾶσθαι, ἢ κοσμεῖν.

Πόνηρον βαρυπονούμενον. ὡς σόλοικον καὶ πονηρὸν ὀξυπονούμενον ὡς κυβοιμῆς, φασὶ διαφέρειν παρὰ τοῖς ἀττικοῖς. ὁμοίως μόχθηρον καὶ μοχθηρόν. πονηρὸς μὲν γάρ ἐστιν ὀξυτόνως ὁ κακοήθης. πόνηρος δὲ ὁ ἐπίπονος. ἀτόνως φησὶ τρύφων καὶ τὰ

φαῦλα μόχθηρα λέγομεν. κατὰ δ' ὀξύτητά φησι καὶ ἐπ' ἐμψύχων. μοχθηρᾶς γέ τοι τέχνης δημιούργημα φαμὲν εἶναι. εἰδὴ τὰ τοῦ τύπου κεκοινώνηκεν, ἄμφω ὀφείλει καὶ τῶν αὐτῶν τόνων μετέχειν. ὅτι ὀξυτονεῖν ἀπαιτεῖ ὁ λόγος βίᾳ, ἀνάγκης. πᾶν γὰρ παρώνυμον εἰς ρον λῆγον παραχηματιζόμενον τοῖς γένεσιν ὀξυτονεῖται, οἷον κάμαρος, καματηρός, ὄλιθος, ὀλιθηρός, μέλι, μελιτηρός, τόλμα, τολμηρός, νόσος, νοσηρός. εἰδὴ πόνος καὶ μόχθος τὰ πρωτότυπα πονηρὸς ὁ μοχθηρὸς ἐκτέον ὀξυτόνως. εἰδ' οἱ ἀττικοὶ βαρυτονοῦσιν, οὐ θαυμαστόν ὅτι. χαίρουσι γὰρ τῇ βαρύτητι. ἄδελφε γοῦν λέγουσι τὴν πρώτην ὀξυτονοῦντες, ὡς ἄπελθέ φησιν ὁ τρύφων καταθέμενος φιλήμονα τὴν ἀγωνέα, ὡς θεπάλλω, ὡς μυρτάλλω, καὶ χάριεν τὴν πρώτης συλλαβὴν ὀξυτονοῦντες, ὡς τε οὐκ εἰς διασολλοῦ φησιν τὴν σημαινομένου εὗρον τὴν βαρύτητα ἀλλ' ὡς ἔθος ἐκπληροῦντες οὔπω προσνέγκαντο.

Ποῖ καὶ πῦ παρὰ τοῖς δωριεῦσι τὴν εἰς τόπον σημασίαν δηλοῖ. πῇ μὲν τὴν ἐπὶ τόπου. πῶ δὲ τὴν ἐκ τόπου.

Πονεῖν καὶ ἀλγεῖν διαφέρει. πονεῖν μὲν γάρ ὅτι τὸ ἐνεργεῖν. ἀλγεῖν δ' ὀδυνᾶσθαι.

Πότος βαρυτόνως, καὶ πότος ὀξυτόνως διαφέρει. πότος μὲν γάρ ὅτι βαρυτόνως τὸ συμπόσιον. ὡς Μένανδρος, πότοι σωτεχεῖς κύβοι. ὀξυτόνως δὲ αὐτὸ τὸ ἔκπωμα, ὡς Δημοσθένης ἐν τῷ κατὰ ἀνδροτίωνος. βρωτὸν καὶ ποτὸν μεταλαβεῖν.

Πολύτιμος καὶ πολυτίμητος διαφέρει. πολύτιμος μὲν γάρ ὅτι, ὁ πολλῆς τιμῆς ἠγορασμένος ἄνθρωπος. πολυτίμητος δὲ ὁ πολλῆς τιμῆς ἄξιος, ὡς τοὺς θεοὺς πολυτιμήτους λέγομεν.

Πρεσβεύειν καὶ πρεσβεύειν διαφέρει. πρεσβεύειν μὲν τὸ πέμπειν πρέσβεις. πρεσβεύειν δὲ τὸ πέμπειν πρεσβευτὴν οἱ ἀττικοὶ λέγουσι.

Πρόξενος καὶ ἰδιόξενος καὶ δορύξενος διαφέρει. πρόξενος πόλεως καὶ ἔθνους. ὡς παρὰ Θουκιδίδῃ. ξένος δ' ὁ εἰς ἑνός. ὁ δ' αὐτὸς καὶ ἰδιόξενος. οὐκ ὀρθῶς οὖν Εὐριπίδης ἐν Τηλέφῳ, πρόξενον εἴρηκε τὴν ἰδιόξενον. κακός ἐστι ὅστις προξένῳ σοι χρώμενος. δορύξενος δὲ ὁ κατὰ πόλεμον γενόμενος φίλος. ἀλεὲς γὰρ ὁ ξενίων τυχών, ἀφείθη πρὸς τοῦ πολεμίου λύτρα λαβόντος, μυαδῆν ἢ τεταγμένην. κομίσας δὲ καὶ φυλάξας τὴν πίστιν ἐγένετο φίλος, καὶ δορύξενος ἐκαλεῖτο.

Προτέρα καὶ προτεραία διαφέρει. προτέρα μὲν ἐπὶ τάξεως. προτεραία δὲ ἐπὶ μόνης ἡμέρας.

Πρῶτος καὶ πρότερος διαφέρει. πρῶτος μὲν ἐπὶ πολλῶν. πρότερος δὲ ἐπὶ δύο. καὶ τῷ μὲν πρώτῳ ἀκόλουθος ἔστιν ὁ ὕστατος. τῷ δὲ προτέρῳ, ὕστερος, καὶ πρότερος μὲν ἐπὶ τάξεως. πρῶτος δὲ ἐπὶ ποιότητος. ὡς ὅταν ἐπὶ ἀγάλματος λέγωμεν, πρώτως ἔχειν τὴν τέχνην, οἷον ἀξόχως. πλάτων γοῦν διερμαίνος τὰς πολιτείας, τὴν μὲν πρώτως ἔχειν φησί. τὴν δὲ ὑστέρως, δηλονότι. ἡ μὲν πρωτεύει, ἡ δὲ ἕπεται. εἰ δέτις εἴποι πρότερον ἦλθον εἰς ἀθήνας, ἁμαρτάνει. πρῶτον γὰρ χρή.

Πρυτανεία τὰ καταβαλλόμενα ὑπὸ τῶν δικόντων τὴν δίκην. ἦν δὲ τὰ ιδ δέκατα τοῦ τιμήματος τῆς δίκης. πρυτανεία δὲ θηλυκῶς ὁ χρόνος. δικήρης γὰρ παρὰ ἀθηναίοις ὁ ἐνιαυτός εἰς δέκα πρυτανείας. ὅσαι καὶ αἱ φυλαὶ ἦσαν ὁ ἐπρυτάνευον ἑκάστη φυλῇ, κατ' ἐνιαυτὸν ἅπαξ. ὅθεν καὶ τοὺς μισθοὺς καὶ τὰ ἐνοίκια κατὰ τὰς πρυτανείας κατὰ μῆνα ἐτέλουν.

Πρὸ μοίρας καὶ πρὸ ὥρας διαφέρει. πρὸ μοίρας μὲν γὰρ ὁ βιαίως ἀπθανών. πρὸ ὥρας δὲ ὁ ἐνεόπτη.

Πρεσβεύοντες καὶ πρεσβεύουσι διαφέρει. πρεσβεύονται μὲν γὰρ οἱ τοὺς πρέσβεις χειροτονοῦντες ὁ πέμποντες. πρεσβεύουσι δὲ οἱ χειροτονούμενοι ἐπὶ τὴν πρεσβείαν.

Πρέσβυς οἱ πρεσβευταί. πρέσβεις δ' οὐδέπω λέγετε. ὁ γὰρ ἑνικόν, πρεσβευτὴς ἀνέγνωσαι.

Πρότερος καὶ πρῶτος διαφέρει. πρότερον μὲν ἐπὶ δυοῖν τάσσεται. ὥσ' Ὅμηρος ἐπὶ Τληπολέμου καὶ Σαρπηδόνος. τοῦ μὲν Τληπολέμου πρότερος. τὸ δὲ πρῶτος, ἐπὶ πολλῶν. ὧν πολὺ πρῶτος ἄναξ ἀνδρῶν ἀγαμέμνων.

Πρωτόγονος μὲν προπαροξυτόνως ὁ πρώ

περον πεχθεὶς. πρωτοτόκος δὲ παροξυτόνως, ἡ πρῶτον τεκοῦσα.

Προσπαίειν μὲν λέγεται τοῖς κάτω μέρεσιν ἢ ποσίν, ἢ κνήμῃ. προσκρούειν δὲ τοῖς ἄνω καὶ κεφαλῇ.

Πείθεσθαι μὲν τὸ ἑκουσίως συγκατατίθεσθαι. πειθαρχεῖν δὲ τὸ κελευόμενα πειθῆναι.

Πυθὼν θυλακῶς καὶ ὀξυτόνως, ὁ τόπος. βαρυτόνως δὲ καὶ ἀρσενικῶς, ὁ δράκων.

Πῦς, καὶ ποῖ, καὶ πεῖ, καὶ πῶ διαφέρει. παρὰ τοῖς διωρισμένοις. ὁ μὲν γὰρ πῦς καὶ ποῖ τὴν εἰς τόπον σημασίαν δηλοῖ. ὁ δὲ πεῖ τὴν ἐν τόπῳ. τὸ δὲ πῶ τὴν ἐκ τόπου, ὡς θ' οἱ διωρίζοντες καὶ λέγοντες πεῖ πρεσβύ. ἁμαρτάνουσι, δέον γὰρ πῦς πορεύῃ. τὸ δὲ πεῖ τὴν ἐν τόπῳ χέσιν δηλοῖ. Σώφρων. πεῖ γὰρ ἄσφαλτος. ποῖος εἰλισκοπεῖται, ἀντὶ τοῦ πῦ. ὅταν δὲ εἰς τόπον θέλῃ εἰπεῖν φησί. πῦς ἐς μυχὸν καταδύν, ἀντὶ τοῦ εἰς ἵνα μυχόν.

Φάφανον καὶ ῥαφανὶς διαφέρει. ῥάφανον μὲν γὰρ ἀττικοὶ λέγουσι τὴν παρ' ἡμῖν κράμβην. ῥαφανίδα δὲ τὴν παρ' ἡμῖν ῥάπανον.

Ῥέφανον καὶ ῥάφανον διαφέρει παρ' ἴωσι καὶ ἀττικοῖς. ῥέφανον μὲν ἡμῖν καὶ ἡμεῖς φαμέν. ῥάφανον δὲ τὴν κράμβην.

Ῥεῖθρον ῥεύματος διαφέρει. ῥεῖθρον μὲν γάρ ἐστιν ὁ τόπος δι' οὗ φέρεται τὸ ῥεῦμα. ῥεῦμα δὲ αὐτὸ τὸ ὕδωρ.

Ῥᾴδιον μὲν τὸ εὐοδοῦν. τὸ ῥᾷστα τῇ ὁδῷ ἐπιπελούμενον. εὐχερὲς δὲ τὸ ταῖς χεροῖν ταχέως ἐπιτελεσθέν. εὐπετὲς δὲ τὸ ἐμπεσὸν εἰς εὐμάρειαν.

Ῥὶς καὶ ῥύγχος διαφέρει. ῥὶς μὲν γὰρ λέγεται ἐπὶ ἀνθρώπου. ῥύγχος δὲ ἐπὶ ἀλόγου ζώου.

Ῥὶς καὶ μυκτὴς διαφέρει. ῥὶς μὲν λέγεται ἡ ἀπὸ τοῦ μεσοφρύου καταγωγὴ μέχρι τῆς χείλους, μυκτῆρες δὲ αἱ τῆς ῥινῶν κατεῤῥήσεις δι' ὧν ἕλκει τὸ ὑγρὸν ἀπομασσόμενον.

Ῥοὶὰ μὲν μετὰ τοῦ ι ὁ δένδρον. ῥοὰ δὲ ὁ καρπός.

Ῥόδον καὶ ῥοδωνιὰ καὶ ῥοδῆ διαφέρει. ῥόδον μὲν γὰρ τὸ ἄνθος. ῥοδωνιὰ δὲ ὁ τόπος. ῥοδῆ δὲ τὸ φυτόν. Ἀρχίλοχος, ἔχουσα θαλλὸν μυρσίνης ἐτέρπετο. ῥοδῆς τε καλὸν ἄνθος.

Ῥύεσθαι καὶ ἐῤῥύεσθαι διαφέρει. Ἀριστόξενος ἐν τῷ πρώτῳ βαγῳδοποιῶν περὶ νεωτέρων οὕτω φησί καὶ λέξιν. ῥύεσθαι καὶ ἐῤῥύεσθαι διαφορὰν ἔχει πρὸς ἄλληλα. τὸ μὲν ῥύεσθαι ἐκθανάτου ἕλκειν. τὸ δὲ ἐῤῥύεσθαι φυλάττειν.

Σταθῆναι καὶ σῆναι διαφέρει. σαθῆναι μὲν γάρ ἐστι. τὸ ὑφ' ἑτέρου. σῆναι δὲ τὸ κατ' ἰδίαν ὁρμὴν καὶ προαίρεσιν, οἷον ἐσάθην ὁ ἀδρίας ὑφ' ἑτέρου, ἐσάθην ὁ νόσος. ἔση δὲ ὁ ἄνθρωπος δι' αὐτοῦ.

Στάχυς, βραχέως δὲ ἐνικόν. ἐκπεταμένος τὸ πληθυντικόν.

Σταφυλὴν ὀξυτονητέον, ὡς ἀλκήν. καὶ σαφύλην βαρυτόνως, ὡς μελίτην διαφέρει. φησὶ Πτολεμαῖος ἐν δευτέρᾳ περὶ τῆς ἐν ὀδυσσείᾳ πρὸς προσῳδίων. τὸ μὲν βαρυτόνον μόνον φησὶν ὄνομα ἐπὶ τῆς καθημένης μολίβδου, παρὰ τοῖς ἀρχιτέκτοσι τίθεται. τὸ δὲ ὀξυτονούμενον ἐπὶ ὀπώρας. ὁ αὐτὸς πάλιν ἐν δευτέρᾳ τῆς ἐν ἰλιάδι προσῳδίων κατὰ λέξιν, φησὶν οὕτως. σαφύλη ἐστὶ νῶτον ἔχουσα. σαφύλη βαρυτόνως ὡς νιόβη. οὐ γάρ ἐστιν ὅμοιον τῷ συκῇ. τοῦτο δὲ διαιρεῖται συκέη, ἐκ εἶνο δ' οὐ διαιρεῖται. ἤ ῥα κλείδης ὁ ἡμέτερ φησὶν, ἡμαρτῆσθαι δοκεῖ παρὰ τοῖς ἕλλησιν ὀξυτονούμενον τοὔνομα. οὐδὲν γὰρ τῶν εἰς θ λήγοντων θηλυκῶν ὀνομάτων μετέχον γενοῦς τοῦ οὐδετέρου παρὰ τελευτῶντος τοῦ υ ὀξυτονεῖται. ἀλλὰ πάντα τὰ ὑπὲρ δύο συλλαβὰς βαρυνεῖται. καὶ τὸ υ μὴ ὀξυτονούμενα ἀλλὰ βαρυνόντα τὸ σοιχεῖον ἔχει, οἷον κοιδύλη. δαμύλη, φεσύλη. δοκεῖ δ' αὕτη μία τῶν ἀθηνησαμένων τῷ Διόνυσον. ἃς ὁ Λυκόργος σεῦε κατ' ἠγάθεον νυσήιον, ἐδύσω. ὅθεν καὶ τὸ σαφύλη βαρυτονητέον. οἱ ὀξυτονοῦντες φασιν, ὅτι ἀπὸ βαρυτόνων ἀρσενικῶν, εἰς ος λήγοντων. τὰ εἰς η λήγοντα θηλυκὰ ὀξυτονεῖται, ἢ ἐὰν τὰ ἀρσενικὰ ὀξυτονήτη, τὰ θηλυκὰ βαρυτονηθήσεται. οἷον πόθος, πόθη, νόμος νομή, ὄνος ὀνή, τίμος τιμή, φόνος φονή. ἐν ἀγαλέησι, φρονέοσι, καὶ τοὔμπαλιν δανάκη. δανάκη ἐπεὶ σαῶ καὶ ἐπὶ τούτου ὁ ἀρσενικὸς ἐστι σάφυλος. οὕτω γὰρ ἐκαλεῖτο ὁ τοῦ Διονύσου υἱός, τὸ θηλυκὸν σαφυλὴ ὀξυτονηθήσεται. πρὸς οὓς ἐκεῖνον, ἰδοὺ κόγχος κόγχη, καὶ οὐκ ὀξυτο-

νεῖται, φίλος φίλη, μόνος μόνη, μύλη μύλη. καὶ ἐπὶ τῶν ὀξυτόνων καλὸς καλή. σοφὸς σοφή. καὶ τὰ θηλυκὰ οὐβαρύνεται. ἀλλ' ὁμοτονεῖ τοῖς μὴ βαρυτόνοις τὰ βαρύτονα τοῖς δὲ ὀξυτόνοις τὰ ὀξύτονα. ὅθεν οὐ παράδοξον ⊂ ἀπὸ τοῦ σάφυλος βαρυτόνου ἐνόματος. καὶ τὸ θηλυκὸν βαρυτονεῖν σαφύλη. ὡς ἐδύλη. τινὲς δὲ βοηθοῦντες τῇ σωθείᾳ, καὶ ὀξυτονεῖν βουλόμενοι φασιν ὅτι ὅσα τοῦ αὐτοῦ ἀπαραλλάκτως ἔχεται σημαινομένου ὁμοτονεῖ. ὅσα δὲ διαλλάσσει τῶν σημαινομένων οὐκέτι ὁ μὲν οὖν φίλος καὶ φίλη καὶ ξένος καὶ ξένη καὶ τὰ προκείμενα, ἀπαράλλακτά ὄντι. διὸ ὁμοτονεῖ. τὰ δὲ διαφέροντα οὐκέτι. καθάπερ γὰρ χόλος χολή, καὶ τρόπος τροπή, καὶ νόμος νομή, γόνος γονή, δόμος δομή, τρόφος τροφή, πόθος ποθή, περὶ τούτου οὖν ἐν ἄλλοις ἐν πολλῶς εἴρηται ὅτι διαφέρει. εἰ οὖν ὅτι σάφηλος ἀρσενικόν. διαφέρει δὲ τῷ σημαινομένῳ ἡ σαφυλή. ὀπώρα δὲ ὄντως ὀξύνεται. τὸ μὲν οὖν προκείμενον τοῦ Ἡρακλείδου παρατήρημα ἰσχυρόν, καθὰ παραγγέλλεται ὀξυτονεῖν. οὐ μόνον διὰ τὰ παρακολουθοῦντα τῷ ὀνόματι. ἀλλ' ὅτι ⊂ ὑπὲρ δύο ὄντι συλλαβάς. τὰ γὰρ προκείμενα, δισύλλαβα. ὡς τε οὐ δὲ τὴν ὀπώραν ὀξυτονεῖν ἡ ἀναλογία ἐπιτρέπει. ἀλλὰ καὶ ἡ Πτολεμαίου ἀθετεῖτο πατήρησις. καθ' ἣν διαφέρειν φησί τοῖς τόνοις τοὔνομα καὶ τῷ σημαινομένῳ.

Σημεῖον ⊂ τεκμήριον διαφέρει. ἀντιφῶν ἐν τῇ τέχνῃ. τὰ παροιχόμενα σημείοις πιστεύεσθαι. τὰ δὲ μέλλοντα, τεκμηρίοις.

Σισύρα καὶ σίσυρμα διαφέρει σισύρα μὲν γὰρ τὸ ἐν τῷ τετριχωμένῳ δερμάτων ἀναποίητον σέγαστρον. σίσυρμα δὲ τὸ ἐκ τῶν κορκύδων ἐρπόμενον ἀμπεχόνιον.

Σκηνὸς δύο σημαίνει, θεῶν τεναόν, καὶ προβάτων περιφράγματα.

Σικκεὸς καὶ σικελιώτης διαφέρει. σικελὸς μὲν γάρ ὄστιν ὁ ἐξ αὐτῆς τῆς σικελίας ὤν. σικελιώτης δὲ, ὁ σικελὸς μὲν μὴ ὤν τὴν δὲ χώραν αὐτὴν οἰκῶν.

Σιωπὴ ⊂ σιγὴ διαφέρει. σιωπὴ μὲν γάρ ὄστι κατάχρησις λόγου. σιγὴ δὲ, στέρησις λόγου

Σκήπτεσθαι ⊂ σκέπτεσθαι διαφέρει. σκήπτεσθαι μὲν γάρ ὄστιν τὸ προφασίζεσθαι. σκέπτεσθαι δὲ τὸ βουλεύεσθαι.

Σκῶμμα γελοίου εὐτραπέλου καὶ γεφυρισμοῦ διαφέρει. σκῶμμα μὲν γάρ ὄστι, τὸ ἐπὶ διασυρμῷ τοῦ πέλας λεγόμενον, οἷονεὶ σκέμμα. γελοῖον δὲ, τὸ ἐπὶ διαχύσει τῶν ἀκροατῶν χωρίς τινος ὕβρεως. εὐτράπελον, τὸ μετὰ σεμνότητος χαριέντως λεγόμενον. εἴρηται δὲ παρὰ τὸ εὖ τρέπεσθαι τὸν λόγον. γεφυρισμὸς δὲ, ἀπὸ τοῦ τοῖς ἀθήνησιν ἐπὶ τῶν γεφύρων ἐπιγράφειν. ἤτοι ἔμμετρα ἢ καὶ δίχα μέτρων διασυρμοὺς τινῶν.

Σοφὸς καὶ σωφρὼν διαφέρει, καθὸ ὁ σοφὸς καὶ σωφρών. ὁ δὲ σωφρὼν, οὐ πάντως σοφός.

Σοῖο καὶ σεῖο παρὰ ποιηταῖς κατὰ τοὺς ἀκριβῶς ἀναγινώσκοντας, διαφέρει. σοῖο μὲν γάρ ὄστι σώαρθρον ἀντωνυμία οἷον μνήσειο πατρὸς σοῖο. ἡ δὲ σεῖο οὐ σύναρθρος. σεῖο δέκεν ζώου καὶ τρὶς τόσα γοῖεν ἄποινα. ἀντὶ τοῦ σοῦ ζῶντος καὶ τρὶς τοσαῦτα δοῖεν ἄποινα. οὐκέτι σοῦ ζῶντος. καὶ φυλάττεται ταῦτα ἄκρως παρ' ὁ μήρῳ.

Σπονδαὶ καὶ σωθῆναι διαφέρει. σπονδαὶ μὲν γὰρ ἃς ἐκ πολέμου σωτίθενται πρὸς ἀλλήλους ἃς ἀναγράφουται ἐφ' οἷς διακρίνονται, οἷον σωτιθέμενοι μὴ πολεμήσειν, μήδ' ἀδικήσειν ἀλλήλους. σωτίθενται δὲ εἰρήνην καὶ φιλίαν πρὸς ἀλλήλους. καὶ τὸ παρὰ ταύτας πραχθέν, ἀρχὴ γίνεται πολέμου.

Σπουδάζειν ⊂ παίζειν διαφέρει. σπουδάζειν μὲν γάρ ὄστι τὸ ἐναντίον τοῦ παίζειν. παίζειν δὲ τὸ βοηθεῖν τινι καὶ συναίρεσθαι.

Στρατόπεδον καὶ στρατὸς διαφέρει. στρατόπεδον ὁ τόπος ἐν ᾧ ἡ στρατεία. στρατὸς δὲ τὸ στρατιωτικὸν πλῆθος. στρατεία ἐκ πεταμένου τὸ πρᾶγμα. στρατιὰ συνεσταλμένως τοῦ τῶν στρατιωτῶν πλῆθος. ἐναλλάσσει δὲ πολλάκις ἐν τῇ χρήσει.

Στρατὸς καὶ στράτευμα καὶ στρατόπεδον διαφέρει. στρατὸς μὲν γὰρ καὶ στράτευμα κυρίως τὸ πλῆθος λέγεται. στρατόπεδον δὲ ὁ τόπος ἐν ᾧ εἰσι.

Συμμαχεῖν καὶ ἐπιμαχεῖν διαφέρει. συμ

μαχεῖν μὲν γὰρ λέγουσιν ἀν αὐτοῖς φησὶ δίδυμος εἶτ' αὐτοῖς ἐπίοιεν πολέμιοι. εἶθ' ἕτεροι ἐπιστρατεύοιεν. ἐπιμαχεῖν ὅταν τοὺς ἐπίοντας ἀμύνωνται μόνον, διέσαλπε θουκυδίδης ἐν τῇ πρώτῃ λέγων κερκυραίους ἀθηναίους συμμαχίαν μὲν οὐ ποιήσασθαι, ἐπιμαχίαν δὲ.

Σύνεργος καὶ συνεργός διαφέρει. συνεργός μὲν γὰρ ὀξυτόνως ὁ περὶ τι ἔργον ἀνεπιτήδειον συμπονῶν. σύνεργος δὲ παροξυτόνως, ὁ τὸ αὐτὸ μετιών. οἷον σύντεχνος.

Σύγγραμμα συντάξεως διαφέρει. σύγγραμμα μὲν γάρ ἐστιν ὁ δίχα μέτρου λόγος ὁ προσαγορευόμενος πεζός, σύνταγμα δὲ πολεμικόντι σύστημα, ἀφ' οὗ καὶ συνταγματάρχης ὁ τοῦ συστήματος αὐτοῦ ἄρχων.

Σύνθεσις συντάξεως διαφέρει, σύνθεσις μὲν γάρ ἐστιν ὁ λόγος ὁ ἔμμετρος. σύνταξις δὲ ὁ λόγος ὁ πεζός.

Συμβουλὴ παραινέσεως διαφέρει. συμβουλὴ μὲν γάρ ἐστιν εἰσήγησις ἀντιλογίαν ἐπιδεχομένη, διὰ τὸ ἄδηλον τοῦ ἐκβησομένου. καὶ γὰρ ἐάντις συμβουλεύσῃ πόλεμον, ἀμφίβολον εἰσεμφέρει. διὸ καὶ ἔχει τὸ ἐνισάμενον. παραίνεσις δὲ ἐστι συμβουλὴ ἀντίρρησιν οὐκ ἐπιδεχομένη. διὰ τὸ δὴ αὐτῆς λέγομεν πάντως ὁμολογεῖσθαι ἀγαθόν. ὡς εἴτις παραινέσῃ σωφρονεῖν. ὅ πέρ ἐστιν ὁμολογημένον ἀγαθόν.

Σφάξαι καὶ θῦσαι διαφέρει. θῦσαι μὲν γὰρ ἐστι τὸ θυμιᾶσαι. σφάξαι δὲ τὸ ἱερουργῆσαί τι ξῶον. καὶ Ὅμηρος τῶν διαφορὰν τετήρηκεν οὕτως. ἐπὶ μὲν τοῦ θῦσαι εἰπὼν θεοῖσι δὲ θῦσαι ἀνώγει, πατρόκλου δὲ ἔταιρον δὲ ἐν πυρὶ βάλλε θυκλάς. ἔτι δὲ τοῦ σφάξαι αὖ ἔρυσαν μὲν πρῶτα καὶ ἔσφαξαν καὶ ἔδειραν.

Στύραξ θηλυκῶς μὲν θυμίαμα. ἄρσενικῶς δὲ, τὸ ξύλον τοῦ ἀκοντίου.

Σχισαὶ τὰ ὑποδήματα. εὔπολις φίλοις, οὐδεὶς ἀνὰ ταῦτα δὲ, ἀργείας φέρων σχισὰς ἐνεργεῖν. σχισὸς δὲ ἀρσενικῶς, χιτὼν γυναικεῖος. Ἀπολλόδωρος ἐν ἐφήβοις, σχισὸν χιτωνίσκον τινὰ ἐνδέδυκας.

Σχολῆ, τὸ ἠρέμα καθὸ φαμέν. σχολῆ βαδίζω, καὶ τὸ ἐν καιρῷ, καθὸ λέγεται οὐκ εἶχον σχολήν. καὶ ἡ διατριβή. καὶ οἱ μαθηταί. διὸ φαμὲν λαμπρὰν σχολήν.

Τάλαν διὰ τοῦ ν, τὸ ἐπίρρημα, διὰ δὲ τοῦ σ. ὀταλαίπωρος.

Τάπητες, καὶ ἀμφιτάπητες διαφέρουσι. τάπητες μὲν γάρ εἰσιν οἱ ἐκ τοῦ ἑτέρου μέρους μαλακὸν ἔχοντες, ἀμφιτάπητες δὲ οἱ ἀμφοτέρωθεν.

Ταυροκτόνος ὁ ὑπὸ ταύρου ἀναιρεθείς. ταυροκτόνος ὁ ταῦρον ἀποκτείνας.

Τέχνη ἐπιτηδεύματος διαφέρει. τέχνη μὲν γάρ ἐστιν ἡ ἄνευ λόγου μὴ δυναμένη εἶναι, οἷον γραμματική, ῥητορική. ἐπιτήδευμα δὲ τὸ λόγου χρεῖον, οἷον χαλκευτική, τεκτονική.

Τεχνίτης καὶ βάναυσος διαφέρει, τεχνίτης μὲν γάρ ἐστι ὁ λογικῆς τινος τέχνης ἔμπειρος καθεστώς. βάναυσος δὲ ὁ διὰ λόγου τινὸς ἐπιτηδεύματος.

Τέτραχμον καὶ τετράδραχμον διαφέρει. τέτραχμον μὲν γάρ ἐστι τὸ νόμισμα. τετράδραχμον δὲ τὸ τὴν τετάρων δραχμῶν.

Τέρας σημεῖον διαφέρει. τὸ μὲν γὰρ τέρας παρὰ φύσιν γίνεται. τὸ δὲ σημεῖον παρὰ συνήθειαν.

Τεχνάσματα τεχνήματα διαφέρει. τεχνάσματα μὲν γὰρ, τὰ κακουργήματα. τεχνήματα δὲ αἱ τέχναι.

Τεῖχη τειχεία διαφέρει. τεῖχη μὲν γάρ ἐστι τὰ τῶν πολεμίων. τειχεῖα δὲ, τὰ τῶν οἰκείων.

Τήθη καὶ τιθὶς διαφέρει. τήθη μὲν γάρ ἐστιν ἡ τοῦ παιδὸς ἐκφόρος. ταύτας δὲ ἔνιοι μαίας καὶ μάμμας καλοῦσι. τιθὶς δὲ ἐστιν ἡ τοῦ πατρὸς ἢ μητρὸς ἀδελφή, ἣν ἔνιοι θεῖαν καλοῦσι.

Τιτθὴ καὶ ἐκφόρος τιθηνὸς διαφέρει. τιτθὴ μὲν γάρ ἐστιν ἡμαζοῦ ἔχουσα. ἐκφόρος δὲ καὶ τιθηνὸς ἡ τῶν ἄλλην ἐπιμέλειαν ποιουμένη τοῦ παιδὸς καὶ μετὰ τὴν ἀπογαλακτισμόν.

Τιμωρεῖσθαι καὶ τιμωρεῖν διαφέρει. τιμωρεῖσθαι μὲν γάρ ἐστι τὸ κολάζειν. τιμωρεῖν δὲ τὸ βοηθεῖν τοῖς ἀδικουμένοις.

Τίθησι καὶ τίθεται διαφέρει. τίθησι μὲν τὸν νόμον ὁ νομοθέτης. τίθεται δὲ ἐν νόμῳ οἱ δικάζοντες καὶ αἱρούμενοι.

τούνεκα © οὕνεκα διαφέρει. τὸ μὲν γὰρ τοῦ νεκά ἐστι. τούτου ἕνεκα. τὸ δὲ οὕνεκα ἀντὶ τοῦ, ὅτι. ἁμαρτάνει οὖν ὁ καλλίμαχος ἐν αἰκάλῃ κ΄ δύο βόπυς λέγων, τόνεκεν αἰγαῖος ἔχεν. ὅτιπε δέον εἰπεῖν οὕνεκα, τοὔνεκεν εἶπε. καὶ ὅλα ἀντὶ τοῦ κα, κεν εἶπεν.

τιμωρεῖν καὶ τιμωρεῖσθαι διαφέρει. τιμωρεῖν μὲν γάρ ἐστι τὸ βοηθεῖν τινι © συναίρεσθαι. τιμωρεῖσθαι δὲ τὸ κολάζειν. καὶ σωωτάτασι. τιμωρῷ τῷ φίλῳ ἀντὶ τοῦ βοηθῷ τιμωρεῖται τὸν ἐχθρὸν ἀντὶ τοῦ κολάζω.

τιθέναι νόμον καὶ τίθεσι διαφέρει. τίθεσι μὲν γὰρ ὁ εἰσφέρων. τίθεται ὁ, δικαιοῦν.

τόμος καὶ τομὸς διαφέρει. τόμος μὲν γάρ ἐστιν ὁ τεμνόμενος χάρτης. τομὸς δὲ ὁ τέμνων σίδηρος.

τρίεπες βαρυτόνως, © βριετὲς ὀξυτόνως διαφέρει. φυσὶ πτολεμαῖος ὁ ἀσκαλωνίτης. ἐὰν μὴ βαρυτονήσωμεν ἔσαι ἐπὶ χρόνου, διὸ καὶ ὁ ποιητὴς φησί. ὡς τρίεπες μὴ ἔλκε δόλῳ, ἐὰν δὲ ὀξυτονήσωμεν τριετὲς, ὡς εὐφυὲς ἔσαι ἐπὶ ἡλικίας. οἷον τριετὲς παιδίον. ὅθεν δ' ἀζητεῖ ἀδμήτιος, χρὴ οὖν ἀναγιρώσκειν, ὡς ἀξιοῖ ὁ ἀσκαλωνίτης.

τροχοὶ ὀξυτόνως καὶ τρόχοι βαρυτόνως διαφέρουσι, παρὰ τοῖς ἀττικοῖς. φησὶ ξύφων ἐν δευτέρᾳ περὶ ἀττικῆς προσῳδίας. τοὺς μὴ γε περιφερεῖς βροχούς, ὁμοίως. ἡμῖν προφέροντ ὀξυτοιοῦντες. τρόχους δὲ βαρυτόνως λέγουσι τοὺς δρόμους. ἀναγινώσκομεν γε ὥς φησιν μὲν ἐν ἀλόπῃ εὐριπίδου. ὀρῶ μέναν δρομ τόν δε γυμνάδα σόλον σείχοντα θεωρὸν ἐκ τρόχων πεπαυμένον. ἀναλογώτερον δὲ τὸ βαρύνειν. τὰ γὰρ εἰς χος δισύλλαβα παρατελεύτου ὄντος τοῦ ο, βαρυτονεῖται. οἷον λόχος, ὄχος, βόχος, κόγχος, κόλχος, μόχος. οὕτω καὶ τρόχος © ἔτι τὰ παρὰ ῥήματος εἰς ω βαρύτονα καὶ αὐτὰ βαρυτονεῖται ἰσοσυλλαβοῦντα. οἷον πλέκω πλόκος. πείρω, πόρος. λέγω λόγος, φέρω φόρος, οὕτω καὶ τρέχω τρόχος.

τραγῳδοί, καὶ κωμῳδοί, καὶ βαγῳδοποιοὶ καὶ κωμῳδοποιοὶ διαφέρουσι. τραγῳδοὶ μὲν γε καὶ κωμῳδοί εἰσιν οἱ ὑποκριταὶ τῆς κωμῳδίας καὶ τραγῳδίας. τραγῳδοποιοὶ δὲ καὶ κωμῳδοποιοὶ οἱ ποιηταὶ τῶν δραμάτων.

τύραννον οἱ ἀρχαῖοι ἐπὶ βασιλέως ἔτασσον

ἡρόδοτος ἐπὶ κροίσου. τυράννου δ' ἐθνέων καὶ προβάς. πελοντήσαντος δ' αὐτέω δι' δέξατο τὴν βασιλείην. καὶ ἀριστοφάνης. ἐν λιμνιαις. ἐν ταῦτ' ἐτυράννουν ὑψιπύλας πατρὸς θόας. βραδύτερος δὴ ἐν ἀνθρώποις δραμεῖν. ἔοθ' ὅτε καὶ τὸν τύραννον βασιλέα ἔλεγον, ὡς εὔπολις ἐν δόμοις ἐπὶ τοῦ πεισιστράτου.

τίθη μὲν ἐστιν ἡ μάμμη. ἐπιτίθη δὲ ἡ πρόμάμμη. τιθὴ δὲ ἡ θεία, τιθὴ δὲ ἡ τροφός.

Υμνος ἐγκωμίου διαφέρει. ὁ μὲν γὰρ ὕμνος ἐστὶ θεῶν. ὁ δὲ ἐγκώμιον ἀνθρώπων.

ὕπαρ ὀνείρατος διαφέρει. ὕπαρ μὲν γάρ ἐστιν ἡ ἐναργὴς ὄψις. ὄνειρον δὲ, ἡ ἐν τῷ καθεύδειν φαντασία.

ὑπαντήσαι καὶ ἀπαντήσαι διαφέρει. ὑπαντήσαι μὲν γὰρ ἐπὶ ὁδοῦ λέγεται. ἀπαντήσαι δὲ ὁ περὶ τυχεῖν δίκην. οἷον ἀπήντησε κατὰ τὴν δίκην. ἀντὶ τοῦ περιέτυχεν.

ὑπόχεσις καὶ ἐπαγγελία διαφέρει. ὑπόχεται μὲν γὰρ ὁ δ' ἀξιωθεὶς διδόναι μέλλων. ἐπαγγέλλεται δὲ ὁ δίχα παρακλήσεως παρέχειν βουλόμενος.

ὑποψία ὑφοράσεως διαφέρει. ὑποψία μὲν γὰρ ἐστι καλοῦτις ὑπόνοια. ὑφόρασις δὲ δόξα ἐπὶ δ' χεῖρον.

ὑπάξαι τόπε γραιέοις, καὶ δ' κατάξαθαι.

ὑπάγειν γὰρ πορεύεσθαι διαφέρει. ὅτι δ' πορεύεσθαι μὲν ἐστὶν ὁ βαδίζειν. ὑπάγειν δὲ ὁ ὑπὸ ζυγὸν ἄγειν βοῦς ἢ ἵππους, ἢ τοιούτων. ὡς ὅμηρος, ὑπάγε ζυγὸν ὠκέας ἵππους. οἱ δὲ βοηθοῦντες τῇ λέξει φασὶν ὅτι ὑπάγει λέγομεν ἀντὶ τοῦ προάγειν. ὥσπερ ὑφηγητὴς ἀντὶ τοῦ προηγητὴς. καὶ ὑπογραμμός, ἀντὶ τοῦ προγραμμός. ὥσφησι καὶ ἀριστοφάνης. ἐγὼ δὲ ὑπάγω τὸν ὅρκον. ἀντὶ τοῦ προάγω. οὕτως οὖν καὶ ὑπάγειν λέγομεν ἀντὶ τοῦ προάγειν. τυτέστιν εἰς τοὔμπροσθεν πορεύεσθαι κέχρηται τῇ λέξει εὔπολις ἐν βάπταις. σύδ' ὑπάγε εἰς τοὔμπροσθεν.

φακοὺς φακῆς διαφέρειν φασί. φακοὶ οἱ ἔτι ὦμοὶ οὐλὲ ἐνικῶς. φακὴ δὲ ἡ ἐψημένη τε τήρηται παρὰ τοῖς παλαιοῖς ἡ διαφορά.

φαυλία καὶ φυλία διαφέρει. φαυλία μὲν γε εἶδος ἐλαίας. φυλία δὲ ἡ χῖνος.

φάκελος καὶ σφακέλη διαφέρει φάκελος

μὴν γάρ ὅτι φορτίον ξύλων. θουκυδίδης φακέλους ὕλης ἀργείας. σφάκελος δὲ ὁ μετὰ φλεγμονῆς σπασμός.

Φάσκαλος φασκωλίς διαφέρει. φάσκαλος μὴ γάρ ὅτιν ἱματιοφορία. φασκώλιον δὲ ὅτι δερμάτιον.

Φαρμακεία γοητείας διαφέρει. φαρμακεία μὲν γὰρ κυρίως ἐβλάβη ἢ διὰ δηκτηρίου ἑνὸς γενομένη φαρμάκου. γοητεία δὲ ἡ ὑπὸ ἐπικλήσεώς τε καὶ ἐπαοιδῆς φαρμακεύς.

Φαρμακὸν δὲ ὀξυτόνως, ὁ ἐπὶ καθάρσει τῆς πόλεως ἐπιτήδειος.

Φάσμα μὲν ὅτι τὸ ὅμοιον ἀληθείᾳ. φάντασμα δὲ τὸ ἑτερόμορφον. εἴδωλον δὲ τὸ ὅμοιον τῇ σκιᾷ. τέρας δὲ φανερὸς σῶμα ἑτερόμορφον. βρέτας δὲ τὸ ξόανον.

Φάγαινα μὴ λέγε ἡμετὰ τὰς νόσους πολυφαγία. φαγαίδαινα δὲ φῦμα ἀνίκεον.

Φεύγει καὶ ἀπαφεύγει διαφέρει. φεύγει μὲν γὰρ δίκην ὁ κατηγορούμενος, καὶ γὰρ ὁ κατηγορῶν διώκει. ἀπαφεύγει δὲ ὁ νικήσας καὶ λυθεὶς τῆς κατηγορίας.

Φθίοι καὶ φθιῶται διαφέρουσι. φθίοι μὲν οἱ ἀπὸ τοῦ πρωτεσιλάου. φησὶ γοῦν ὅμηρος. προφθίωντε μέδοντε, οἷον δοῦν ἀπὸ πόλεως, οὐδ' ἀπὸ χώρας, ἀλλ' ἀπ' ἄνδρος φθίου. φθιῶται δὲ οἱ ὑπὸ τοῦ ἀχιλλέως ἀπὸ πόλεως θεσσαλικῆς φθίας, καὶ χώρας ὁμωνύμου. φθίνει δ' ἀξικόμην ἐριβώλακα. ἠγνώκεσαν οὖν καλλίμαχος εἰπών. οὐδέτι τῶν φθίων εἶχεν ἀνακρείκη.

Φιλεῖν καὶ κυεῖν διαφέρει. ὅτι τὸ μὲν κυεῖν τὸ τοῖς χείλεσιν ἀσπάζεσθαι. φιλεῖν δὲ τὸ ἀγαπᾶν καὶ ξενίζειν.

Φίλος καὶ ἑταῖρος διαφέρει. φίλοι μὲν γὰρ κοινῶς, ἅπαντες οἱτινὰ τοῦ φιλίας δίκαια πρὸς ἑαυτοὺς ἔχομεν. ἑταῖροι δὲ ἰδίως οἱ καὶ τῇ ἡλικίᾳ παραπλησίως ἔχοντες. οἱ καὶ ἐν τῇ σωκρατείᾳ καὶ ἐν τῇ σωτεργείᾳ πολὺν χρόνον γεγονότες.

Φόρος καὶ φορὸς διαφέρει. φόρος μὲν γὰρ λέγεται ὁ φέρων. οὕτως καὶ φόρος ἡ ἀναφορά. φορὸς δὲ ὁ τόπος τῆς ἀναφέρεσθαι καὶ φορὸς ὁ φερόμενος.

Φράσον καὶ φράσαι διαφέρει. φράσον μὲν γάρ ὅτι τὸ εἰπέ.

Φράσαι δὲ ἀντὶ τοῦ διανοήθηνι. σὺ δὲ φράσαι εἶμε σαώσεις.

Φριμάσσεσθαι καὶ φρυάσσεσθαι διαφέρει. φριμάσσεσθαι μὲν γὰρ τὸν τράγον φαμὲν, ὁ φριμαγμὸς ἡ τοῦ τράγου φωνὴ ὥσπερ φρυαγμός. φρυάσσεσθαι δὲ τὸν ἵππον τὸν φυσῶντα καὶ γαυρούμενον.

Φρονεῖν τοῦ καταφρονεῖν διαφέρει. φρονεῖν μὲν γάρ ὅτι τὸ λογίζεσθαί τι καὶ φυθυμεῖσθαι. καταφρονεῖν δὲ τὸ εὐπολίζειν καὶ ὑπεροφᾶν.

Φρυνὴ μὲν ἡ πρόξ. φέρνιον δὲ τὸ ἁλιθυλακῆ, πυρίδιον.

Φύλλον καὶ φῦλον διαφέρει. φύλλον μὲν τὸ πέταλον δένδρου. φῦλον δὲ, τὸ γένος.

Φωνεῖν καὶ ὠρύεσθαι διαφέρει. φωνεῖν μὲν γὰρ ἐπὶ ἀνθρώπων λέγεται. ὠρύεσθαι δὲ ἐπὶ λύκων. παρατηρητέον δὲ ἐπὶ τῶν λοιπῶν τὸ οἰκεῖον ἑκάστῳ. ὅπου βληχᾶσθαι μὴ γὰρ λέγεται τῶν προβάτων μηκᾶσθαι δὲ ἐπὶ τῶν αἰγῶν διὰ τοῦ η. μυκᾶσθαι δὲ ἐπὶ τῶν βοῶν διὰ τοῦ υ. βρωμᾶσθαι ἐπὶ ὄνων. βρυχᾶσθαι δὲ ἐπὶ λεόντων. χρεμετίζειν δὲ ἐπὶ ἵππων. ἀραρίζειν δὲ ἐπὶ κυνῶν παρ' ἀθηναίοις. ἀπὸ τῆς ἀρφωνῆς. παρ' ἡμῖν δ' ὑλακτεῖν λέγετε.

Φωλεὸς καὶ κοίτη διαφέρει. φωλεὸς μὲν γὰρ ἐπὶ τῶν ἑρπετῶν τάσσεται. κοίτη δὲ ἐπὶ ἀνθρώπων. ὡς τε ἐπὶ μὲν τῶν ἑρπετῶν ἐρητέον τὸ φωλεύειν. ἐπὶ δὲ ἀνθρώπων τὸ κοιτάζειν. ἐπὶ δὲ τῶν ὀρνέων τὸ νοσσεύειν. ὁ γοῦν λέγων νοσσιὰν τῶν τέκνων, ἀκυρολογεῖ. τέκνα μὲν γὰρ ἀνθρώπων. νεοσσοὶ δ' ὀρνίθων. μέθροι δὲ ἐλάφων. σκύμνοι δὲ λεόντων. σκύλακες δὲ κυνῶν.

Χαρᾶς θηλυκῶς μὴ ἐπὶ τῶν τῇ ἀμπέλῳ παραδεσμευμένων. ἀρσενικῶς δὲ ἐπὶ τῶν ἐν τοῖς πολέμοις περιπεγνυμένων. ἀφ' ὧν λέγουσι χαρακώσαντες, ἀντὶ τοῦ περιφράξαντες. καὶ χαρακώματα τὰ περιφράγματα.

Χαρὰ καὶ εὐφροσύνη καὶ τέρψις καὶ εὐθυμία καὶ ἡδονὴ καὶ ἀπόλαυσις, διαφέρουσι. χαρὰ μὴ γάρ ὅτι πρόσφατος ψυχῆς ἔπαρσις καὶ διάχυσις. εὐφροσύνη δὲ, πάθος χρονίου μετὰ σωφροσύνης γινόμενον τέρψις δὲ, οἱονεὶ τέρψις καὶ ψυχαγωγία, ἀπὸ τοῦ ἀκούειν ἐπὶ τὸ κρεῖσσον. εὐθυμία δὲ, βραχεῖα ψυχῆς χαρά. ἡδονὴ δὲ, ἐκ ψυχῆς

ἀρετία. ἀπώλειαι δὲ, ἕξις κοινῶς ἐπὶ πάσης μεταλήψεως ταπεινὴν ἀγαθῆς τε καὶ φαύλης.

Χαμάζηλον οὐ μόνον δὲ παρὰ χαμάζηλον ἀλλὰ Ⓒ δ' ἀνοχλῆ. ὡς Μένανδρος ἐν ἡνιόχῳ.

Χλαῖνάν τε καὶ χλανίδα, διαφέρει φησὶ τρύφων ἐν τῷ πέμπτῳ περὶ ἑλληνισμοῦ, καὶ παρατίθεται ξενοφῶντα. χλαῖνας μὲν γάρ φησι λέγεσθαι ἐπὶ τῶν ἐγκοιμήτων καὶ παχέων, διὸ καὶ ὄμβρον φάναι. ἐνθάδε τ' ἐκθεῖσαι πυκινὸν λέχος, ἐμβάλετ' εὐνῇ. δέμνια καὶ χλαίνας καὶ ῥήγεα σιφαλόεντα. χλανίδας δὲ τὰς φορουμένας καὶ μαλακωτέρας. ἀντὶ πίπτει τῷ παρατηρήματι χλαῖναν πορφυρέαν ἀντ' ὀφθαλμοῖσιν ἐπιχών. μήπω τε οὖν ἄμεινον λέγειν, τὰς μὲν χλαίνας ἐπὶ τῶν ἐγκοιμήτων, καὶ φορουμένων. χλανίδας δὲ ἐπὶ μόνων τῶν φορουμένων οὐκ ἐπὶ δὲ ἐπὶ τῶν κοιμήτρων.

Χλαμὺς καὶ χλαῖνα διαφέρει. καθὸ διὰ πολλῶν ἀπέδειξε Δίδυμος, ἐν ὑπομνήματι δευτέρῳ ἰλιάδος, ἡ μὲν χλαῖνα ἡρωϊκὸν φόρημα. χλαμὺς δὲ μακεδονικόν, μετὰ ἑξακόσια ἔτη τῶν ἡρωϊκῶν ὀνομασθεῖσα Σαπφώ (αὕτη δ' μέμνηται χλαμύδος) διαφέρειν φησὶ καὶ τῷ χήματι. ἡ μὲν γὰρ χλαῖνα, πεταγωνόν φησιν ἱμάτιον. ἡ δὲ χλαμὺς, εἰς τέλειον περὶ τὰ κάτω σωμήκεται. καὶ τοὺς χρησαμένους πολὺ Ⓒ ἀπ' ἀλλήλων διεσήμαν προσάγει Ἀριστέλεω Φίλαρχον πρὸ μέμονα, ὅτι πολὺ διαφέρουσι.

Χιτώνιον καὶ χιτωνίσκος διαφέρει. χιτωνίσκος μὲν Ⓒ ὁ τοῦ ἀνδρὸς χιτών. χιτώνιον δὲ τὸ τῆς γυναικὸς ἔνδυμα.

Χόας σωφεσαλμῶς τῶν ἑορτῶν ἀριστοφάνης ἀχαρνεῦσιν. ἀκούετε λεὼς κατὰ τὰ πάτρια τῆς χόας. χοᾶς δὲ περιπωμένους ἐπὶ μέτρῳ τοῦ οἴνου.

Χορήγιον καὶ χορηγὸς διαφέρει. χορήγιον μὲν τὸ διδασκαλεῖον, καὶ χορηγὸς ὁ διδάσκαλος. χορὸς δὲ ὁ σύστημα τῶν παίδων, καὶ τῶν ἀδόντων.

Χολάδες καὶ χόλικες διαφέρει. χολάδες μὲν γὰρ τὰ ἔντερα. χοῦν τὸ χαμαὶ χολάδες. χόλικες δ' αἱ τῶν βοῶν κοιλίαι. Ἀριστοφάνης βαβυλωνίοις. ἢ βοϊαδαρίων τις ἀπέκτεινε ζεῦγος χολίκων ἐπιθυμῶν.

Χρήσας καὶ δανεσὰς λεκτέον. καὶ τοὺς χρεωφειλέτας. χρηστήριον ὁ τόπος, καὶ ὁ χρησμός, Ⓒ δ' ἱερόν.

Χύτραι καὶ χυτρεῖα διαφέρει. χύτραι μὲν γὰρ καὶ αὐτὰ τὰ σκεύη, καὶ τὰ χυβοπωλεῖα. χυτρεῖα δὲ τὰ τῶν χυτρῶν ὀστρακα.

Ψάλλιον καὶ φέλλιον διαφέρει. ψάλλιον μὲν, τὸ τοῦ ἵππου. φέλλιον τὸ ἄκρον βραχίοσι περιβεβλημένον κόσμιον. οἱ δωριεῖς φέλλιον καλοῦσι τὸ ἄκρον. ὅθεν Ⓒ ἡμεῖς τῶν ἐπὶ ἄκρων χαλεῶν λεγομένων προσῳδίαν, φιλὴν ἐκαλέσαμεν ὡς φησι βύφων.

Ψάμαθος καὶ ἄμαθος διαφέρει. ψάμαθον μὲν γὰρ τῶν παραθαλασσίων ἄμμον, ἐπὶ ψαμάθοις ἁλίσιν. ἄμαθον δὲ τῶν κόνιν. τύχε γὰρ ἀμάθοιο βαθείας.

Ὥρα δασέως τοῦ ἔτους καὶ τῆς ἡμέρας. ψιλῶς δὲ ἡ φροντίς.

Ὠνήσασθαι Ⓒ ἀγοράσαι διαφέρει. ὠνήσασθαι μὲν γὰρ ὅσιν τὸ πρίασθαί τι τῶν πωλουμένων. ἀγοράσαι δὲ καὶ δ' ἐν ἀγορᾷ διατρίψαι.

Ὠτειλὴ καὶ οὐλὴ διαφέρει. ὠτειλὴ μὲν γὰρ ὅσιν δὲ πρόσφατον τραῦμα. παρὰ τὸ οὐτᾶσθαι. οὐλὴ δὲ ἡ ὑγιασμένη σὰρξ ἐκ τραύματος παλαιοῦ. ὡς ὅμηρος, οὐλὴν τῶν ποτέ μιν φῦς ὕλασε λευκῷ ὀδόντι.

ΤΕΛΟΣ.

ΤΑΞΙΣΠΑ

ΔΑΙΑ, ΚΑΙ ΟΝΟΜΑΣΙΑΙ ΤΩΝ ΑΡΧΟΝΤΩΝ.

Καταλοχίσαι, τὸ εἰς λόχους καταμερίσαι τὸ πλῆθος τῶν στρατῶν.

Λόχος, ἔνιοι μὲν, τὸ σύσημα τῶν ἑξ ἀνδρῶν. οἱ δὲ, τὸ ἑξ ἀνδρῶν. ιβ. οἱ δὲ, τὸ ἀπὸ ἑκκαίδεκα ἀνδρῶν πλῆθος. ὃ καὶ τέλειον φασιν καὶ σύμμεικτον.

Λοχαγωγός, προτοστάτης καὶ ἡγεμών, ὁ αὐτός ὄντιν. ἔστι μὲν ὁ α, καὶ ἄριστος τοῦ λόχου.

Οὐραγός, ὁ τελευταῖος τοῦ λόχου.

Δίχος καὶ δεκανία καὶ λόχος, ὁ αὐτὸ ὄντιν. οἱ δὲ καὶ συνωμοτίαν αὐτὸ καλοῦσιν. οἱ δὲ τὸ ε' λέγουσι τοῦ λόχου, τὴν συνωμοτίαν. οἱ δὲ τὸ δ.

Συνωμοτάρχης, ὁ καὶ συνωμοσίας ἄρχων.

Διμοιρίαν καὶ ἡμιλοχίαν, τὸ αὐτὸ φασι.

Διμοιρίτης ὁ ἡμιλοχίτης, ὁ ἄρχων τοῦ ἡμιλόχου καὶ τῆς μοίρας.

Ἐπιστάτης, ὁ τοῦ λόχου ὀπίσω τεταγμένος. ὁ δὲ μετ' αὐτὸν, πρωτοστάτης. ὁ δὲ μετὰ τοῦτον πάλιν ὑπιστάτης. ὡς εἶναι τὸ ὅλον στίχον, ἐκ πρωτοστατῶν, καὶ ἐπιστατῶν συγκείμενον. ἔνιοι δὲ λοχαγὸν μὲν, τὸν πρωτοστάτην λέγουσιν, ὥς περ καὶ οὗτοι, καὶ οὐραγόν, τὸν ἐπιστάτην. τοὺς δὲ μέσω δὲ, οὐχ ὡς αὐτῶς. ἀλλ' ἐπιστάτην μὲν, τὸν μετὰ τὸν πρωτοστάτην. ἤτοι, ϛ. τὸν δὲ. γ. ἀπὸ τοῦ πρωτοστάτου, ὑποστάτην.

Συλλογισμός ὄντιν, ὅταν ὦσι. α. λόγω. ἕτερος λόγος ὑπεθῆ. ὥς τε λοχαγὸν λοχαγῷ, καὶ οὐραγὸν οὐραγῷ, καὶ τοὺς μεταξὺ τοῖς ὁμοζύγοις παρίσασι.

Παρασάται, οἱ ὁμόλοχοι ἀνδρῶν. ξ δ. καὶ ἡγούμενος, τετράρχης.

Τάξεις αἱ δύο τετραρχίαι, ἀνδρῶν. ϛκν. καὶ ὁ ἡγούμενος πάλαι μὲν ταξίαρχος. νῦν δὲ ἑκατοντάρχης.

Σύνταγμα, ὃ ἔνιοι παράταξιν, αἱ. β. τάξις, ἄνδρες. σνϛ. καὶ ὁ ἡγούμενος συντα-

ταγματάρχης. τοῦτο δὲ ἔνιοι, καὶ ξεναγίαν καλοῦσι, καὶ ξεναγὸν τὸν ἡγούμενον.

Πεντακοσιαρχία τὰ. β. τάγματα. ἄνδρες φιβ. καὶ ὁ ἡγούμενος πεντακοσιάρχης.

Ἑκατοντάτοι. τοῦτος τὸ μὲν παλαιὸν ἡ τάξις εἶχεν, ὡς τὸ ὄνομα δηλοῖ. διότι τάξεις ἐξάριθμοι ἦσαν. εἰσὶ δὲ. ε. στρατοκήρυξ, σαλπιγκτής, σημαιοφόρος, ὑπηρέτης, οὐραγός. νῦν δὲ καὶ τὸ συντάγματος λέγουσι, καὶ τὸν ἄλλων. ἔχει δὲ τούτους, τὴν τάξιν. ἢ τὸ σύνταγμα. τὸν μὲν ὅπως τῇ φωνῇ σημαίνῃ δὲ πραττόμενον. τὸν δὲ ὅπως τῷ σημείῳ, εἰ μὴ ἠφωνὴ κατακοῦοιτο διὰ θόρυβον τὸν δὲ σαλπιγκτὴν, ὁπότε μὴ δὲ σημεῖα βλέποιεν διακονιστὸν. καὶ τὸν ὑπηρέτην. ὡς πολὺ τῶν εἰς τὴν χρείαν παρακομίσαι. τόνγε μὴν ἑκατὸν οὐραγὸν, πρὸς δ' ἐπανάγειν τὸν ἀπολειπόμενον ἐπὶ τὴν τάξιν. οἱ τῶν. δ. ἄνω τετρακοσίων καὶ μέτωπον κάτω τάσσεται.

Ξεναγία, αἱ. β. πεντακοσιαρχίαι, ἀνδρῶν ακδ. οἱ δὲ πλεῖστοι τοῦτο δ' πλῆθος, χιλιαρχίαν καλοῦσι καὶ χιλίαρχον τὸν ἡγούμενον.

Τετραρχία, αἱ. β. χιλιαρχίαι, ἀνδρῶν. βμκ. οἱ δὲ καὶ τέλος ὀνομάζουσι, καὶ τὸν ἡγούμενον τετράρχην. οἱ δὲ, πεντατάρχην.

